μέν[19]) σου ταῖς χερσί· σὺ δὲ τοσαύτῃ πρὸς ἡμᾶς ἐχρήσω τῇ παν-
ουργίᾳ, ὅσῃ περ ἂν εἰ πολεμίους σοί τινας φυλάξασθαι προὔ-
42 κειτο. Καί τοί γε ἐχρῆν, [20]) εἰ μὲν ὠφέλιμον ταύτην ᾔδεις οὖσαν
τὴν γνώμην, μηδὲ αὐτὸς τὸ κέρδος φυγεῖν· εἰ δὲ ἐπιβλαβῆ, καὶ
ἡμᾶς, οὓς πάντων ἀεὶ προτιμᾶν ἔλεγες, ἀπαλλάξαι τῆς ζη-
43 μίας. σὺ δὲ καὶ ὅπως ἐμπεσούμεθα, ἅπαντα ἔπραξας· καὶ δό-
λου σοι καὶ ὑποκρίσεως [21]) ἐδέησε, [22]) πρὸς τὸν ἀδόλως καὶ
ἁπλῶς ἅπαντα καὶ λέγειν καὶ πράττειν εἰωθότα πρὸς σέ.
44 Ἀλλ' ὅμως, ὅπερ ἔφην, οὐδὲν τούτων ἐγκαλῶ νῦν, οὐδὲ ὀνει-
δίζω τὴν ἐρημίαν, εἰς ἣν κατέστησας ἡμᾶς, τὰς συνόδους δια-
κόψας ἐκείνας, ἐξ ὧν καὶ ἡδονὴν καὶ ὠφέλειαν οὐ τὴν τυχοῦ-
45 σαν ἐκαρπωσάμεθα πολλάκις. Ἀλλὰ πάντα ταῦτα ἀφίημι, καὶ
φέρω σιγῇ καὶ πράως· οὐκ ἐπειδὴ πράως εἰς ἡμᾶς ἐπλημμέ-
λησας, ἀλλ' ἐπειδὴ τοῦτον ἔθηκα ἐμαυτῷ τὸν νόμον, ἀπὸ τῆς
ἡμέρας ἐκείνης, ἧς τὴν φιλίαν ἔστερξα τὴν σήν, ὑπὲρ ὧν ἂν
ἡμᾶς ἠθέλησας λυπεῖν, μηδέποτέ σε εἰς ἀπολογίας ἀνάγκην
46 καθιστᾶν. Ἐπεὶ ὅτι γε οὐ μικρὰν [23]) τὴν ζημίαν ἡμῖν ἐπήγα-
γες, οἶσθα καὶ αὐτός· εἴγε μέμνησαι τῶν ῥημάτων, καὶ τῶν
παρὰ τῶν ἔξωθεν περὶ ἡμῶν, καὶ τῶν ὑφ' ἡμῶν, λεγομένων
ἀεί. ταῦτα δὲ ἦν, ὅτι πολὺ κέρδος ἡμῖν ὁμοψύχους εἶναί τε

---

19) *φέροντες ἐνεθήκαμεν.* Recte vertit *Ritterus* l. l. *Denn ich habe meine Seele, dass ich so sage, freiwillig in deine Hände gegeben.* Cf. Aelian. V. H. VI, 1. p. 340. *Kühn.* Οἱ Ἕλληνες ἑαυτοὺς ἐνεχείρισαν *φέροντες.* Vid. *Hermann.* ad Viger. p. 778. *L.*

20) *ἐχρῆν μηδὲ αὐτὸς φυγεῖν.* Sic editiones primae, αὐτός. ex quo in aliis factum est αὐτὸν, et αὐτῆς, quod quidem antitheton ad καὶ ἡμᾶς perimit. De casu recto vide ad §. 551. Huic autem loco plane Homilia περὶ μετανοίας καὶ εὐχῆς respondet: ἀρκεῖ μόνον βοῆσαι τῇ καρδίᾳ καὶ δάκρυα προσενέγκαι, καὶ εὐθέως εἰσελθὼν (pro, εἰσελθόντα,) αὐτὸν (τὸν θεὸν) ἐπισπᾶσαι. [Bengelius provocat ad §. 551., ubi tamen prorsus alia est ratio. Est vero post χρῆ et ἐχρῆν nominativus cum infinitivo prorsus inauditus, ideoque equidem praetulerim h. l. accusativum αὐτὸν inprimis cum plures libri in hac lectione conspirent. *L.*]

21) *ὑποκρίσεως.* Observa antitheton, ἁπλῶς. ex quo utriusque verbi vis apparet.

22) *ἐδέησε.* Mimesis, hoc sensu: *sine dolo non putasti rem bene geri posse.* Hermogenes: ἐξηγήσεως αὐτῷ ἐδέησε, *explicatione utendum putavit.* Alciphron: ἐδέησα κινδύνῳ περιπεσεῖν *non potui me non in periculum immittere.* pag. 286. ed. Lips. Adde Not. ad §. 406. Contrarium: οὐδὲν δέομαι. §. 535. 447. Conjecturam, quae hic quoque οὐδὲν addidit, refutavit Thirlby. [Adjecit οὐδὲν *Fr. Ducaeus* nullius Codicis auctoritate nixus. vid. *Thirlby.* p. 285. *L.*]

23) *οὐ μικράν.* Verior elegantiorque lectio, οὐκ εἰς μικρά.

καὶ φράττεσθαι τῇ πρὸς ἀλλήλους φιλίᾳ. *Καὶ* οἱ μὲν ἄλλοι 47
πάντες ἔλεγον, καὶ ἑτέροις πολλοῖς οὐ μικρὰν ὠφέλειαν τὴν ἡμετέραν οἴσειν ὁμόνοιαν. ἐγὼ δὲ ὠφέλειαν μὲν οὐδέποτε ἐνενόησα, τόγε εἰς ἐμὲ ἧκον, παρέξειν τισίν· ἔλεγον δὲ, ὅτι τοῦτο γοῦν ἀπ' αὐτῆς κερδανοῦμεν κέρδος οὐ μικρὸν, τὸ δυσχείρωτοι γενέσθαι τοῖς καταγωνίσασθαι βουλομένοις ἡμᾶς. *Καὶ* 48
ταῦτά σε ὑπομιμνήσκων οὐκ ἐπαυσάμην ποτέ· χαλεπὸς ὁ καιρὸς, οἱ ἐπιβουλεύοντες πολλοί· τὸ τῆς ἀγάπης γνήσιον 24) ἀπόλωλεν, ἀντεισῆκται δὲ ὁ τῆς βασκανίας ὄλεθρος· ἐν μέσῳ παγίδων 25) διαβαίνομεν, καὶ ἐπὶ ἐπάλξεων 26) πόλεων περιπατοῦμεν. οἱ μὲν ἕτοιμοι τοῖς ἡμετέροις ἐφησθῆναι κακοῖς, 27) εἴποτέ τι συμβαίη, πολλοὶ καὶ πολλαχόθεν ἐφεστήκασιν· ὁ δὲ συναλγήσων οὐδεὶς, ἢ καὶ εὐαρίθμητοι λίαν. ὅρα μὴ διαστάντες ποτὲ πολὺν τὸν γέλωτα ὄφλωμεν, καὶ τοῦ γέλωτος μείζονα τὴν ζημίαν. Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ, καὶ ὡς μεμοχλευμένα βασίλεια. 28) μὴ δὴ διαλύ-

---

24) τὸ γνήσιον. Infra eadem paragrapho est *γνησιότης*. Vid. *Winer Gramm. des neutestamentl. Sprachidioms.* ed. II. p. 91. *L.*

25) ἐν μέσῳ παγίδων. Sir. IX. 20.

26) ἐπὶ ἐπάλξεων πόλεων. *Per pinnas moenium*, scil. telis expositi. Vetus interpres: *in murorum marginibus*. [ἔπαλξις ab Hesychio et Etymol. M. explicatur *προμαχὼν τοῦ τείχους*. Xenoph. Cyrop. VI, 1, 27. *ἐποίησε ἐπὶ τῶν οἰκημάτων* (sc. *τῶν πύργων*) *καὶ περιδρόμους καὶ ἐπάλξεις*. Cf. Hist. Gr. IV, 7, 6. *L.*]

27) κακοῖς. Veteris interpretis editio vetustissima *κακοῖς* reddit, *memoribus*. aliae: *moribus*, et, *mortibus*, inepte. Amat hic interpres Graeca, ut *condium*, *caumenia*, *stegma*. ejusdem commatis est *memera*, verbum fugiens et rarum, non abjiciendum hoc nomine, sed tenendum eo diligentius. Congruit Vocabularius (sic enim inscribitur) breviloquus: *memere*, *i. tristis*. Quin etiam Hesychius: *Μέρμερα* (lege *μέμερα*, sic enim ipse ordo lexici et synonymon hoc ipso versiculo subsequens cogit) *μερίμνης ἄξια*, *μέρμερα*. idem: *μέρμερα*, *χαλεπὰ*, *δεινά*. adde Eustathium. Tales suspiciunculae, quarum non semper praesens apparet utilitas, tamen aliquando, cum minime putares, juvant. quin haec ipsa nos juverit in crisi ad Rom. 12, 13. ubi interpretatio vetus, pro Graeco *χρείαις*, habuisse fertur *memoriis*, unde alii *μνείαις* scripserunt. At nobis quidem indubium est, primitus in illa interpretatione (quae etiam Graeca *aporiamur* et *dyscolis* habet) *memera* sive *memora* casu dativo secundae tertiaeve declinationis exstitisse, quem postea cum obvio *memoriis* mutatum non mirabitur, quisquis idem vocabulum Hesychio et interpreti operis hujus paene ereptum respexerit.

28) μεμοχλευμένα βασίλεια. Prov. 18, 19. LXX. *τεθεμελιωμένον βασίλειον*. *Μεμοχλευμένη βασιλεία* legitur etiam in Hom. *εἰς τοὺς τὰ πρῶτα πάσχα νηστεύοντας*. Metalepsis non incommoda. [Haud inepte *μεμοχλευμένα βασίλεια* legendum censuit *Boisius* (vid. *Montefalc.* p. 855.), quem secutus est *Hasselbachius*. Et eam lectio-

49 σῆς ταύτην τὴν γνησιότητα, μηδὲ διακόψῃς τὸν μοχλόν. Ταῦτα
καὶ τὰ τούτων πλείονα ἔλεγον συνεχῶς· οὐδὲν μὲν οὔτε ὑπο-
πτεύων τοιοῦτον, ἀλλὰ καὶ πάνυ σε τὰ πρὸς ἡμᾶς ὑγιαίνειν
νομίζων, ἐκ περιουσίας δὲ καὶ ὑγιαίνοντα θεραπεύειν βουλό-
μενος· ἐλάνθανον δὲ, ὡς ἔοικε, νοσοῦντι τὰ φάρμακα ἐπιτι-
θείς. Καὶ οὐδὲ οὕτως ὁ δείλαιος ὤνησα, οὐδὲ γέγονέ μοί τι
50 πλέον ἐκ ταυτησὶ τῆς ἄγαν προμηθείας. 29) Πάντα γὰρ ἐκεῖνα
ῥίψας ἀθρόως καὶ οὐδὲ εἰς νοῦν βαλλόμενος, 30) ὥσπερ ἀνερ-
μάτιστον πλοῖον 31) εἰς πέλαγος ἡμᾶς ἄπειρον ἀφῆκας; οὐδὲν
τῶν ἀγρίων ἐκείνων ἐννοήσας κυμάτων, ἅπερ ἡμᾶς ὑπομένειν
51 ἀνάγκη. Εἰ γάρ ποτε συμβαίη συκοφαντίαν ἢ χλευασίαν ἢ καὶ
ἄλλην τινὰ ὕβριν καὶ ἐπήρειαν 32) ἡμῖν ἐπενεχθῆναί ποθεν
(πολλάκις δὲ συμβαίνειν τὰ τοιαῦτα ἀνάγκη·) πρὸς τίνα κατα-
φευξόμεθα; τίνι κοινωσόμεθα τὰς ἡμετέρας ἀθυμίας; τίς ἡμῖν

---

nem, quum nihil ea verius cogitari possit, equidem in textum recipere non dubitavi. *Bengelius* habet: *μεμοχλευμένη βασιλεία*, et vertit: *oppidum munitum*. Ut vero taceam, non facile de oppido dici *βασιλείαν*, pugnat etiam pro nostra lectione Versio LXX Interpp., ubi est: *τεθεμελιωμένον βασίλειον.* Locum ipsum, qui legitur Prov. XVIII, 19., quamvis alias sequatur LXX Interpretes, memoriter citasse videtur Chrysostomus. Verba versionis septuagintaviralis ita se habent: *Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλὴ, ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον.* Sensus tamen est idem. *L.*]

29) *τῆς ἄγαν προμηθείας.* Sic, *τοῖς ἄγαν παισί*, §. 385. *τοὺς ἄγαν πολεμιωτάτους.* §. 616. [vid. *Sturz.* Lex. Xenoph. s. v. *ἄγαν*. *L.*]

30) *βαλόμενος.* Ita dedi, quia aoristus statim praecesserat. *L.*

31) *ἀνερμάτιστον πλοῖον,* i. e. *ἀστήρικτον. Ἕρματα γὰρ ἐρείσματα ἢ στηρίγματα,* quae sunt verba Schol. ad Plat. Theaet. p. 144. A. Intelligendae naves non saburratae. Vid. Suid. v. *ἕρμα*. Cf. *Ruhnken.* ad Longin. p. 242. *L.*

32) *ἐπήρειαν.* Habes hic quatuor substantiva *συκοφαντίαν, χλευασίαν, ὕβριν* et *ἐπήρειαν* quorum ostendere discrimen, non a scopo esse videtur. Primum illud voc. *συκοφαντία*, quod notat calumniam, ita a reliquis vocibus differt, ut ne verbo quidem opus sit. Vide tamen de propria hujus v. significatione *Bergler.* ad Alciphron. p. 133. Schol. Aristoph. ad Plut. 31. et Suidam s. *συκοφαντεῖν*; *χλευασία* vero id contumeliae genus indicat, quod indicatur vultu, voce, gestibus. Cf. Aesch. Socrat. Dial. II, 16. p. 69. *προσκαθιζόμενον κατεγέλα τε, καὶ ἐχλεύαζε, καὶ ἔσειεν. A χλευασίᾳ* distinguenda est *ὕβρις*, quae notat *contemtum cum injuria*. Factis igitur se exserit *ὕβρις*, ut optime docuit beatus *Tittmann. Lex. Synon. N. T. Spec. IV*, p. 13., quocum conferas *Perizon.* ad Aelian. IV, 15. Reliquum est ultimum vocabulum *ἐπήρεια*, quae vox latissime patet. Notat enim *omne id, quo alii nocetur*. Vid. *Wass.* ad Thucyd. I, 26. *L.*

ἀμῦναι θελήσει; καὶ τοὺς μὲν λυποῦντας ἀνακόψει καὶ ποιή-
σει μηκέτι λυπεῖν· ἡμᾶς δὲ παραμυθήσεται καὶ παρασκευάσει
τὰς ἑτέρων φέρειν ἀπαιδευσίας; οὐκ ἔστιν οὐδείς, σοῦ πόῤῥω-
θεν ἑστηκότος τοῦ δεινοῦ τούτου πολέμου, καὶ μηδὲ κραυγὴν
ἀκοῦσαι δυναμένου ποτέ. Ἆρα οἶδας ὅσον εἴργασταί σοι κα- 52
κόν; ἆρα νῦν γοῦν μετὰ τὸ πλῆξαι ἐπιγινώσκεις, ὡς καιρίαν
ἡμῖν ἔδωκας τὴν πληγήν; Ἀλλὰ ταῦτα μὲν ἀφείσθω (οὐδὲ γάρ 53
ἔστι τὰ γενόμενα ἀναλῦσαι [33]) λοιπὸν, οὐδὲ πόρον τοῖς ἀπό-
ροις εὑρεῖν·) τί πρὸς τοὺς ἔξωθεν ἐροῦμεν; τί πρὸς τὰς αἰ-
τίας ἀπολογησόμεθα τὰς ἐκείνων; [34])

V. Θάρσει, ἔφην ἐγώ. Οὐ γὰρ ὑπὲρ τούτων εἰμὶ μόνον 54
ἕτοιμος εὐθύνας ὑπέχειν· [1]) ἀλλὰ καὶ ὧν ἀνευθύνους ἡμᾶς
ἀφῆκας, καὶ τούτων πειράσομαί σοι δοῦναι λόγον, ὡς ἂν οἷός
τε ὦ. καὶ, εἰ βούλει γε, ἀπ' αὐτῶν πρῶτον τῆς ἀπολογίας
τῶν λόγων ποιήσομαι τὴν ἀρχήν. Καὶ γὰρ ἂν εἴην ἄτοπος 55
καὶ λίαν ἀγνώμων, [2]) εἰ τῆς παρὰ τῶν ἔξωθεν δόξης φροντί-
ζων, καὶ ὅπως παύσαιντο ἡμῖν ἐγκαλοῦντες, [3]) πάντα ποιῶν,
τὸν ἁπάντων μοι φίλτατον, καὶ τοσαύτῃ πρὸς ἡμᾶς αἰδοῖ κε-
χρημένον, ὡς μηδὲ ὑπὲρ ὧν ἠδικῆσθαί φησιν, ἐγκαλέσαι θε-
λῆσαι, ἀλλὰ παρ' οὐδὲν [4]) τὰ αὑτοῦ θέμενον ἔτι τῶν ἡμετέ-
ρων φροντίζειν· μὴ δυναίμην, ὡς οὐκ ἀδικῶ, πεῖσαι, ἀλλὰ
μείζονι περὶ αὐτὸν φαινοίμην κεχρημένος ῥαθυμίᾳ, ἧς αὐτὸς

---

33) *τὰ γενόμενα ἀναλῦσαι.* Hoc adagium alii aliter, ut graeca lingua est copiosa, exprimunt. Basil. M. epist. *τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γεγενῆσθαι τὰ πεπραγμένα; Hoeschel.*

34) *ἐκείνων.* Desinit hic prolixiorem sermonem Basilius, brevi posthac usurus interpellatione, ut tristi et anxio convenit: plura laetus loquitur Chrysostomus.

1) *εὐθύνας ὑπέχειν.* Vid. *Sturz. Lex. Xenoph.* h. v. *L.*

2) *ἀγνώμων.* Interpres: *infrunitus.* Vid. *Matthaei.* l. l. ad Homil. II, p. 69.

3) *ἐγκαλοῦντες.* *Morel.* οἱ ἐγκαλοῦντες. minus belle.

4) *παρ' οὐδὲν θέμενον.* Proba phrasis. sic, ἐν οὐδενὶ τιθέμενος. Homil. in Ps. 95. nam τίθημι, *aestimo.* §. 136. 481. Sed pro παρ' οὐδὲν alii mss. φροῦδα· alii, etiam Augustanus, φρούδην. Basilius, quum dixit, ταῦτα ἀφείσθω, §. 53. sua φροῦδα seu φρούδην θέσθαι dici potuit. Sed viderint eruditi. [Foret φρούδην τὰ αὑτοῦ θέμενος, *valedicens omnibus suis rebus*, et habet haec sane lectio, quo defendatur. Nihil tamen mutandum censui. Vid. *Viger.* p. 295. Verbum τιθέναι usurpatum est h. l. ut Latinorum *ponere.* Cic. Acad. I, 10. „In quibus *ponebat*, nihil omnino esse momenti.“ ubi *Ernesti* sine idonea caussa exulare jubebat verbum esse. *L.*]

56 περὶ ἡμᾶς ἐπεδείξατο σπουδῆς. Τί ποτ᾽ οὖν σε ἠδικήσαμεν; [5])
ἐπειδὴ καὶ ἐντεῦθεν ἐγνώκαμεν εἰς τὸ τῆς ἀπολογίας ἀφεῖναι
πέλαγος· ἆρα ὅτι σε παρεκρουσάμεθα, [6]) καὶ τὴν ἡμετέραν
ἐκρύψαμεν γνώμην; ἀλλ᾽ ἐπὶ κέρδει καὶ τοῦ ἀπατηθέντος σοῦ,
57 καὶ οἷς ἀπατήσαντές σε προὐδώκαμεν. Εἰ μὲν γὰρ δι᾽ ὅλου
τὸ τῆς κλοπῆς κακὸν, καὶ οὐκ ἔστιν εἰς δέον αὐτῷ χρήσασθαί
ποτε, δοῦναι ἕτοιμοι δίκην ἡμεῖς, ἣν ἂν αὐτὸς ἐθέλῃς· μᾶλλον
δὲ σὺ μὲν οὐδέποτε παρ᾽ ἡμῶν ἀνέξῃ δίκην λαβεῖν, ἡμεῖς δὲ
ἑαυτῶν καταγνωσόμεθα ταῦτα, ἃ τῶν ἀδικούντων οἱ δικά-
58 ζοντες, ὅταν αὐτοὺς ἕλωσιν οἱ κατήγοροι. εἰ δὲ οὐκ ἀεὶ τὸ
πρᾶγμα [7]) ἐπιβλαβὲς, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων προαί-

---

5) *τί ποτ᾽ οὖν σὲ ἠδικήσαμεν.* Pessime est in editione Bengeliana *τί ποτοῦν σὲ ἠδικήσαμεν;* Hic primum monendum est, *ποτοῦν*, quod nunquam occurrit, certe sejunctim esse scribendum: *ποτ᾽ οὖν*. Sed hoc non sufficit. Puto scripsisse Chrysostomum: *τί οὖν; πότε σε ἠδικήσαμεν; Quid igitur? Quomodo te unquam laesimus?* Nihil nempe frequentius est in lingua Graeca, quam usus vocularum *τί οὖν;* in responsionibus cum objectione. Cf. *Sturz.* Lex. Xenoph. T. IV. p. 308. sq. *L.*

6) *ἆρα ὅτι σε παρεκρουσάμεθα; Num, quod te circumvenimus?* Notes hic elegantem verbi *παρακρούειν* usum, de quo jam nonnulla adscribamus: Alii Grammatici originem hujus vocabuli ducunt a palaestra et quidem ab iis, qui luctae artificio adversarium supplantant, eumque a recto tramite depellunt; esse enim tradunt verbum *τῶν παλαιστῶν τῶν οὐ καταβαλλόντων, ἀλλ᾽ ἐν ὥρᾳ κρουόντων ἢ ποδὶ ἢ χειρὶ καὶ οὐ ῥιπτόντων.* Alii vero Grammatici rectius propriam significationem derivant a mercatura, ut sit: *in rebus appendendis alteram lancem ex aequilibrio fraudulenter impellere digito, ut in alteram partem vergat,* Ita enim explicat Harpocration: *μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι, ἢ μετροῦντας κρούειν τὰ μέτρα, καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν.* Deinde transfertur ad ea omnia, quae impediunt, quo minus res satis ponderari possint et examinari, *fallere, decipere, fucum facere.* Hesychius et Suidas explicant per *ἐξαπατᾶν, πλανᾶν*, et hinc etiam copulatur *παρακρούειν* cum *ἐξαπατᾶν* apud Demosth. De Corona T. I, p. 318. edit. Reisk. Cf. *Fischer.* ad Platon. Criton. C. VI. *Wolf.* ad Demosth. Lept. p. 291. *L.*

7) *τὸ πρᾶγμα. Cassianus aliquot capitibus Collationis XVII. mendacium in temporibus legis et extra ea non fuisse illicitum docere visus est, notatus ejus rei ergo a Prospero nonnullisque aliis. Sane et dolum aliquem quandoque non inconcessum docet non paucis B. Joannes Chrysostomus l. 1. de Sacerdotio.* Barth. Animadv. ad Hermam p. 903. Adde *P. Martyris* LL. CC. Theol. Class. II. Loc. 52 ss. ubi hanc ipsam Chrysostomi disputationem laudat et varia exempla, interposito suo judicio, inducit: et *Cunr. Rittershusii* lib. VI. Sacr. lect. c. 3. seq. [Clemens Alexandrinus primus fuisse dicitur, qui piam fraudem probaret. Vid. *Schroeckh's christl. Kirchengesch.* T. IX, p. 379. sqq. Cf. *Hugo Grotius de Jure Belli et Pacis.* III, I, VIII, 3. Haud inepte *Ritterus* l. l. p. 215 de hac fraude ait: Sie

ρεσιν γίνεται φαῦλον ἢ καλὸν, ἀφεὶς ἐγκαλεῖν τὸ ἠπατῆσθαι δεῖξον ἐπὶ κακῷ τοῦτο τεχνασαμένους· ὡς ἕως ἂν τοῦτο ἀπῇ, μὴ ὅτι [8]) μέμψεις καὶ αἰτίας ἐπάγειν, ἀλλὰ καὶ ἀποδέχεσθαι τὸν ἀπατῶντα δίκαιον ἂν εἴη τούς γε εὐγνωμόνως διακεῖσθαι βουλομένους. Τοσοῦτον γὰρ ἔχει κέρδος εὔκαιρος ἀπάτη καὶ 59
μετὰ τῆς ὀρθῆς γινομένη διανοίας, ὡς πολλοὺς, ὅτι μὴ παρεκρούσαντο, καὶ δίκην δοῦναι πολλάκις. Καὶ εἰ βούλει γε τῶν 60
στρατηγῶν τοὺς ἐξ αἰῶνος εὐδοκιμήσαντας ἐξετάσαι, τὰ πλείονα αὐτῶν τρόπαια, τῆς ἀπάτης εὑρήσεις ὄντα κατορθώματα, καὶ μᾶλλον τούτους ἐπαινουμένους, ἢ τοὺς ἐκ τοῦ φανεροῦ κρατοῦντας. Οἱ μὲν γὰρ μετὰ πλείονος τῆς δαπάνης, καὶ τῆς 61
τῶν χρημάτων καὶ τῆς τῶν σωμάτων, κατορθοῦσι τοὺς πολέμους· ὡς μηδὲν αὐτοῖς πλέον ἀπὸ τῆς νίκης γίγνεσθαι, ἀλλὰ παρ᾽ οὐδὲν τὰ τῶν ἡττωμένων [9]) τοὺς κρατοῦντας δυστυ-

---

gehört zu den Erfindungen des Heidenthums, welche die christlichen Lehrer, um mit gleichen Waffen ihre Feinde zu bekämpfen, von jenem entlehnt hatten; besonders um manche scheinbare Widersprüche in der heiligen Schrift zu lösen. Auch wird es keinem Leser entgehen, wie schwer es dem Verfasser wird, sich gegen seinen Freund zu rechtfertigen, obgleich dieser nichts auf die nicht immer passenden Beweisstellen aus der heil. Schrift entgegnet. Aber Chrysostomus trug hier bei seinem reinsten Sinn für Wahrheit, und bei dem grössten Eifer für Gerechtigkeit, welchen er sonst in seinem Leben zeigt, einen Theil der Schuld seiner Zeit.]

8) *μὴ ὅτι.* Vid. **Zeune** ad *Viger.* p. 458. — *εὐγνωμόνως διακεῖσθαι.* aequum de aliis judicium ferre. Vid. ***Vales.*** ad Euseb. H. E. I, 1. p. 8. imprimisque ***Heinichen*** in Ind. Verbor. Euseb. s. v. εὐγνώμων. *L.*

9) *παρ᾽ οὐδὲν τὰ τῶν.* Vulgati, *παρ᾽ οὐδὲν ἧττον τῶν* –. Sed et *Mont.* in tribus mss. ἧττον deesse notat, et Augustanus pro eo τὰ suggerit. unde δυστυχεῖν cum accusativo, uti §. 17. [Ne sensum quidem idoneum praebet haec lectio, quae est in editione Bengelii. Rectius legunt alii: *ἀλλὰ παρ᾽ οὐδὲν ἧττον τῶν ἡττωμένων τοὺς κρατοῦντας.* Notavit quidem Montefalconius, e tribus Codicibus deesse vocabulum ἧττον, quod tamen nos nondum eo potest perducere, ut e textu ejiciamus hoc verbum, quum oculi librariorum facile potuerint errare statim sequente participio ἡττωμένων. Ejusdem sententiae, ut nunc vidi, fuit etiam C. F. W. ***Hasselbach***, qui in versione vernacula p. 16. ita vertit: *Denn diese führen mit mehr Aufwand sowohl an Geld als an Leibern (?) die Kriege glücklich, so dass ihnen kein Vortheil aus dem Siege entspringt, sondern die Obsiegenden um nichts minder, als die Ueberwundenen übel daran sind.* Et sub textu in notula quadam indigitavit, se legisse: *ἀλλὰ παρ᾽ οὐδὲν ἧττον τῶν ἡττημένων τοὺς κρατήσαντας.* Quibus causis ductus scripserit V. D. ἡττημένων et κρατήσαντας pro praesentibus ἡττωμένων et κρατοῦντας, nescio. Certe hac mutatione non opus erat.]

56 περὶ ἡμᾶς ἐπεδείξατο σπουδῆς. Τί ποτ᾽ οὖν σε ἠδικήσαμεν; 5)
ἐπειδὴ καὶ ἐντεῦθεν ἐγνώκαμεν εἰς τὸ τῆς ἀπολογίας ἀφεῖναι
πέλαγος· ἆρα ὅτι σε παρεκρουσάμεθα, 6) καὶ τὴν ἡμετέραν
ἐκρύψαμεν γνώμην; ἀλλ᾽ ἐπὶ κέρδει καὶ τοῦ ἀπατηθέντος σοῦ,
57 καὶ οἷς ἀπατήσαντές σε προὐδώκαμεν. Εἰ μὲν γὰρ δι᾽ ὅλου
τὸ τῆς κλοπῆς κακὸν, καὶ οὐκ ἔστιν εἰς δέον αὐτῷ χρήσασθαί
ποτε, δοῦναι ἕτοιμοι δίκην ἡμεῖς, ἣν ἂν αὐτὸς ἐθέλῃς· μᾶλλον
δὲ σὺ μὲν οὐδέποτε παρ᾽ ἡμῶν ἀνέξῃ δίκην λαβεῖν, ἡμεῖς δὲ
ἑαυτῶν καταγνωσόμεθα ταῦτα, ἃ τῶν ἀδικούντων οἱ δικά-
58 ζοντες, ὅταν αὐτοὺς ἕλωσιν οἱ κατήγοροι. εἰ δὲ οὐκ ἀεὶ τὸ
πρᾶγμα 7) ἐπιβλαβὲς, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων προαί-

---

5) *τί ποτ᾽ οὖν σὲ ἠδικήσαμεν.* Pessime est in editione Bengeliana *τὶ ποτοῦν σὲ ἠδικήσαμεν;* Hic primum monendum est, *ποτοῦν*, quod nunquam occurrit, certe sejunctim esse scribendum: *ποτ᾽ οὖν*. Sed hoc non sufficit. Puto scripsisse Chrysostomum: *τί οὖν; πότε σε ἠδικήσαμεν; Quid igitur? Quomodo te unquam laesimus?* Nihil nempe frequentius est in lingua Graeca, quam usus vocularum *τί οὖν;* in responsionibus cum objectione. Cf. *Sturz.* Lex. Xenoph. T. IV. p. 308. sq. *L.*

6) *ἆρα ὅτι σε παρεκρουσάμεθα; Num, quod te circumvenimus?* Notes hic elegantem verbi *παρακρούειν* usum, de quo jam nonnulla adscribamus: Alii Grammatici originem hujus vocabuli ducunt a palaestra et quidem ab iis, qui luctae artificio adversarium supplantant, eumque a recto tramite depellunt; esse enim tradunt verbum *τῶν παλαιστῶν τῶν οὐ καταβαλλόντων, ἀλλ᾽ ἐν ὥρᾳ κρουόντων ἢ ποδὶ ἢ χειρὶ καὶ οὐ ῥιπτόντων.* Alii vero Grammatici rectius propriam significationem derivant a mercatura, ut sit: *in rebus appendendis alteram lancem ex aequilibrio fraudulenter impellere digito, ut in alteram partem vergat,* Ita enim explicat Harpocration: *μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντάς τι, ἢ μετροῦντας κρούειν τὰ μέτρα, καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν.* Deinde transfertur ad ea omnia, quae impediunt, quo minus res satis ponderari possint et examinari, *fallere, decipere, fucum facere.* Hesychius et Suidas explicant per *ἐξαπατᾶν, πλανᾶν,* et hinc etiam copulatur *παρακρούειν* cum *ἐξαπατᾶν* apud Demosth. De Corona T. I, p. 318. edit. Reisk. Cf. *Fischer.* ad Platon. Criton. C. VI. *Wolf.* ad Demosth. Lept. p. 291. *L.*

7) *τὸ πρᾶγμα.* *Cassianus aliquot capitibus Collationis XVII. mendacium in temporibus legis et extra ea non fuisse illicitum docere visus est, notatus ejus rei ergo a Prospero nonnullisque aliis. Sane et dolum aliquem quandoque non inconcessum docet non paucis B. Joannes Chrysostomus l. 1. de Sacerdotio.* Barth. Animadv. ad Hermam p. 903. Adde *P. Martyris* LL. CC. Theol. Class. II. Loc. 52 ss. ubi hanc ipsam Chrysostomi disputationem laudat et varia exempla, interposito suo judicio, inducit: et *Cunr. Rittershusii* lib. VI. Sacr. lect. c. 3. seq. [Clemens Alexandrinus primus fuisse dicitur, qui piam fraudem probaret. Vid. *Schroeckh's christl. Kirchengesch.* T. IX, p. 379. sqq. Cf. *Hugo Grotius de Jure Belli et Pacis.* III, I, VIII, 3. Haud inepte *Ritterus* l. l. p. 215 de hac fraude ait: *Sic*

ρεσιν γίνεται φαῦλον ἢ καλὸν, ἀφεὶς ἐγκαλεῖν τὸ ἠπατῆσθαι
δεῖξον ἐπὶ κακῷ τοῦτο τεχνασαμένους· ὡς ἕως ἂν τοῦτο ἀπῇ,
μὴ ὅτι [8]) μέμψεις καὶ αἰτίας ἐπάγειν, ἀλλὰ καὶ ἀποδέχεσθαι
τὸν ἀπατῶντα δίκαιον ἂν εἴη τούς γε εὐγνωμόνως διακεῖσθαι
βουλομένους. Τοσοῦτον γὰρ ἔχει κέρδος εὔκαιρος ἀπάτη καὶ 59
μετὰ τῆς ὀρθῆς γινομένη διανοίας, ὡς πολλοὺς, ὅτι μὴ παρε-
κρούσαντο, καὶ δίκην δοῦναι πολλάκις. Καὶ εἰ βούλει γε τῶν 60
στρατηγῶν τοὺς ἐξ αἰῶνος εὐδοκιμήσαντας ἐξετάσαι, τὰ πλεί-
ονα αὐτῶν τρόπαια, τῆς ἀπάτης εὑρήσεις ὄντα κατορθώματα,
καὶ μᾶλλον τούτους ἐπαινουμένους, ἢ τοὺς ἐκ τοῦ φανεροῦ
κρατοῦντας. Οἱ μὲν γὰρ μετὰ πλείονος τῆς δαπάνης, καὶ τῆς 61
τῶν χρημάτων καὶ τῆς τῶν σωμάτων, κατορθοῦσι τοὺς πο-
λέμους· ὡς μηδὲν αὐτοῖς πλέον ἀπὸ τῆς νίκης γίγνεσθαι, ἀλλὰ
παρ' οὐδὲν τὰ τῶν ἡττωμένων [9]) τοὺς κρατοῦντας δυστυ-

---

gehört zu den Erfindungen des Heidenthums, welche die christlichen Lehrer, um mit gleichen Waffen ihre Feinde zu bekämpfen, von jenem entlehnt hatten; besonders um manche scheinbare Widersprüche in der heiligen Schrift zu lösen. Auch wird es keinem Leser entgehen, wie schwer es dem Verfasser wird, sich gegen seinen Freund zu rechtfertigen, obgleich dieser nichts auf die nicht immer passenden Beweisstellen aus der heil. Schrift entgegnet. Aber Chrysostomus trug hier bei seinem reinsten Sinn für Wahrheit, und bei dem grössten Eifer für Gerechtigkeit, welchen er sonst in seinem Leben zeigt, einen Theil der Schuld seiner Zeit.]

8) μὴ ὅτι. Vid. **Zeune** ad *Viger.* p. 458. — εὐγνωμόνως διακεῖσθαι. aequum de aliis judicium ferre. Vid. ***Vales.*** ad Euseb. H. E. I, 1. p. 8. imprimisque ***Heinichen*** in Ind. Verbor. Euseb. s. v. εὐγνώμων. *L.*

9) παρ' οὐδὲν τὰ τῶν. Vulgati, παρ' οὐδὲν ἧττον τῶν –. Sed et *Mont.* in tribus mss. ἧττον deesse notat, et Augustanus pro eo τὰ suggerit. unde δυστυχεῖν cum accusativo, uti §. 17. [Ne sensum quidem idoneum praebet haec lectio, quae est in editione Bengelii. Rectius legunt alii: ἀλλὰ παρ' οὐδὲν ἧττον τῶν ἡττωμένων τοὺς κρατοῦντας. Notavit quidem Montefalconius, e tribus Codicibus deesse vocabulum ἧττον, quod tamen nos nondum eo potest perducere, ut e textu ejiciamus hoc verbum, quum oculi librariorum facile potuerint errare statim sequente participio ἡττωμένων. Ejusdem sententiae, ut nunc vidi, fuit etiam C. F. W. ***Hasselbach***, qui in versione vernacula p. 16. ita vertit: *Denn diese führen mit mehr Aufwand sowohl an Geld als an Leibern (?) die Kriege glücklich, so dass ihnen kein Vortheil aus dem Siege entspringt, sondern die Obsiegenden um nichts minder, als die Ueberwundenen übel daran sind.* Et sub textu in notula quadam indigitavit, se legisse: ἀλλὰ παρ' οὐδὲν ἧττον τῶν ἡττημένων τοὺς κρατήσαντας. Quibus causis doctus scripserit V. D. ἡττημένων et κρατήσαντας pro praesentibus ἡττωμένων et κρατοῦντας, nescio. Certe hac mutatione non opus erat.]

χεῖν,[10]) καὶ τῶν στρατευμάτων ἀνηλωμένων, καὶ τῶν ταμιείων
κεκενωμένων. πρὸς δὲ τούτοις οὐδὲ τῆς ἐπὶ τῇ νίκῃ δόξης αὐ-
τοὺς ἀφιεῖσιν ἀπολαῦσαι πάσης. μέρος γὰρ αὐτῆς οὐ μικρὸν
συμβαίνει καὶ τοὺς πεπτωκότας καρποῦσθαι, διὰ τὸ ταῖς ψυ-
χαῖς νικῶντας τοῖς σώμασιν ἡττηθῆναι μόνοις· ὡς, εἴ γε ἐνῆν
βουλομένους[11]) μὴ πίπτειν, μηδὲ ὁ θάνατος ἐπελθὼν αὐτοὺς
62 ἔπαυσεν, οὐκ ἂν ἔστησαν[12]) τῆς προθυμίας ποτέ. Ὁ δὲ
ἀπάτῃ κρατῆσαι δυνηθεὶς, οὐ συμφορᾷ μόνον, ἀλλὰ καὶ γέλωτι
περιβάλλει τοὺς πολεμίους. οὐ γὰρ ὥσπερ ἐκεῖ τοὺς ἐπαίνους
ἐξ ἴσης ἀποφέρονται[13]) ἀμφότεροι τοὺς ἐπὶ τῇ ῥώμῃ, οὕτω
καὶ ἐνταῦθα τοὺς ἐπὶ τῇ φρονήσει, ἀλλ' ὅλον τῶν νικώντων
ἐστὶ τὸ βραβεῖον· καὶ, τὸ τούτων οὐκ ἔλαττον, τὴν ἀπὸ τῆς
νίκης ἡδονὴν ἀκέραιον τῇ πόλει φυλάττουσιν. Οὐ γάρ ἐστιν
ὥσπερ ὁ τῶν χρημάτων πλοῦτος καὶ τὸ τῶν σωμάτων πλῆ-
θος, ἡ τῆς ψυχῆς φρόνησις· ἀλλ' ἐκεῖνα μὲν, ὅταν τις αὐ-
τοῖς ἐν τοῖς πολέμοις χρῆται συνεχῶς, δαπανᾶσθαι συμβαίνει
καὶ ἀπολείπειν τοὺς ἔχοντας· αὕτη δὲ, ὅσῳ περ ἄν τις αὐτὴν
63 ἀνακινῇ, τοσούτῳ μᾶλλον αὔξεσθαι πέφυκεν. Οὐκ ἐν τοῖς πο-
λέμοις δὲ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ πολλὴν καὶ ἀναγκαίαν
εὕροι τις ἂν τῆς ἀπάτης τὴν χρείαν· καὶ οὐ πρὸς τὰ τῆς πό-
λεως πράγματα μόνον, ἀλλὰ καὶ ἐν οἰκίᾳ πρὸς γυναῖκα ἀν-
δρὶ, καὶ πρὸς ἄνδρα γυναικὶ, καὶ πατρὶ πρὸς υἱὸν, καὶ πρὸς
64 φίλον φίλῳ, ἤδη δὲ καὶ πρὸς πατέρα παισί. Καὶ γὰρ τῶν
τοῦ Σαοὺλ χειρῶν ἡ τοῦ Σαοὺλ θυγάτηρ οὐκ ἴσχυσεν ἂν ἑτέ-
ρως ἐξελέσθαι τὸν ἄνδρα[14]) τὸν αὐτῆς, ἀλλ' ἢ μετὰ τοῦ
παραλογίσασθαι τὸν πατέρα. ὁ ταύτης δὲ ἀδελφὸς τὸν ὑπ'
ἐκείνης διασωθέντα σῶσαι βουλόμενος κινδυνεύοντα πάλιν τοῖς

---

10) δυστυχεῖν. *Κλαίει ὁ νικήσας· ὁ δὲ νικηθεὶς ἀπόλωλεν*; qui Sibyllae Erythraeae versus est in Paroemiis Graecis. *flens victi victor respicit interitum.*

11) βουλομένους. Sic Erasmus et vetus interpres. conf. §. 207. Plerique mss. βαλλομένους, proclivi lapsu.

12) οὐκ ἂν ἔστησαν τῆς προθυμίας. Sic, οὐ στήσομαι διώκων; §. 566. Homil. 3. c. Jud. de Judaeis sub Juliano templum Hierosolymitanum instaurare conatis: πῦρ ἐκθηδῆσαν ἐκ τῶν θεμελίων, εὐθέως κατέφλεξε πολλοὺς καὶ τῆς ἀκαίρου φιλονεικίας ἔστησε. LXX. quoque, ἔστησε τοῦ τίκτειν. Gen. 29, 35.

13) ἀποφέρονται. Ed. prima, φέρονται. non deterius. [*Morel.* legit φέρονται. Sed etiam *Montef.* retinuit ἀποφέρονται. *L.*]

14) τὸν ἄνδρα. Καὶ ὁ Δαβὶδ, ἀλλοιώσας τὸ πρόσωπον αὐτοῦ καὶ τυμπανίζων ἐπὶ ταῖς θύραις τῆς πόλεως. *etc.* 1. *Reg.* 21. *Hoeschelius.*

αὐτοῖς ὅπλοις ἐχρήσατο, οἷς περ καὶ ἡ γυνή. Καὶ ὁ Βασί- 65
λειος, ἀλλ' οὐδὲν τούτων πρὸς ἐμέ φησιν. οὐδὲ γὰρ ἐχθρὸς
ἐγὼ καὶ πολέμιος οὔτε τῶν ἀδικεῖν ἐπιχειρούντων, ἀλλὰ πᾶν
τοὐναντίον· [15]) τῇ γὰρ σῇ γνώμῃ τὰ ἐμαυτοῦ πάντα ἐπιτρέ-
ψας ἀεὶ, ταύτῃ εἱπόμην, ᾗπερ [16]) ἐκέλευσας. ΙΩ. [17]) Ἀλλ' 66
ὦ θαυμάσιε καὶ ἀγαθώτατε, διὰ τοῦτο γὰρ καὶ αὐτὸς φθά-
σας εἶπον, ὅτι οὐκ ἐν πολέμῳ μόνον οὐδ' ἐπὶ τοὺς ἐχθροὺς,
ἀλλὰ καὶ ἐν εἰρήνῃ καὶ ἐπὶ τοὺς φιλτάτους ταύτῃ χρήσασθαι
καλόν. Ὅτι γὰρ οὐ τοῖς ἀπατῶσι μόνον ἀλλὰ καὶ τοῖς ἀπα- 67
τωμένοις τοῦτο χρήσιμον, προσελθὼν τινι τῶν ἰατρῶν [18]) ἐρώ-
τησον, πῶς ἀπαλλάττουσι τῆς νόσου τοὺς κάμνοντας; [19]) καὶ
ἀκούσῃ παρ' αὐτῶν, ὅτι οὐκ ἀρκοῦνται τῇ τέχνῃ μόνῃ, ἀλλ'
ἔστιν ὅπου καὶ τὴν ἀπάτην παραλαβόντες καὶ τὴν παρ' αὐ-
τῆς βοήθειαν καταμίξαντες, οὕτως ἐπὶ τὴν ὑγίειαν τὸν ἀσθε-
νοῦντα ἐπανήγαγον. Ὅτ' ἂν γὰρ τὸ δυσάρεστον τῶν ἀῤῥω- 68
στούντων καὶ τῆς νόσου δὲ αὐτῆς τὸ δυστράπελον μὴ προσίη-
ται τὰς τῶν ἰατρῶν συμβουλὰς, τότε τὸ τῆς ἀπάτης ὑποδῦ-
ναι προσωπεῖον ἀνάγκη· ἵν' ὥσπερ ἐπὶ σκηνῆς, τὴν τῶν γε-

---

15) τοὐναντίον. Haec particula modo absolute ponitur, modo cum verbo. §. 403. 564.

16) ταύτῃ ᾗπερ. scil. ὁδῷ.

17) ΙΩ. In dialogis res vel ita exponitur, quasi narretur, adhibito verbo *inquit* vel etiam *inquam:* vel ita, quasi agatur, interpositis colloquentium solis nominibus. Chrysostomus alteri rationi alteram attemperavit. nam plerumque ponit φησὶ et ἔφην· ubi autem hoc verbum abest, ibi certe quin suum *Johannis* et amici *Basilii* nomen dialogo intexuerit, dubium non est. Latine *Johannes* multo magis scribi convenit, propter etymon Hebraicum, quod vel geminam *h h* fert, quam *Joannes* ab Ἰωάννης. nam Graeci *h* literam inter duas vocales non habent; Latini vix alibi habent. nam et retinent in peregrinis, *enhydris, polyhistor, gehenna,* etiam in propriis, *Euhippus, Sohemus;* et frequentant in suis, *aha, ohe, traho, rehalo,* propriisque, *Ahala, Aharna* multisque aliis, immo affectant, ut docet Gellius l. 2. c. 3. et A. Manutius in Orthogr. *incoho et synodus.*

18) ἰατρῶν. *Quae imposturae sint licitae, Clemens etiam Alexandrinus medicorum exemplo docet Strom. VII.* ἀληθῆ τε γὰρ φρονεῖ ἅμα καὶ ἀληθεύει· πλὴν εἰ μήποτε ἐν θεραπείας μέρει, καθάπερ ἰατρὸς πρὸς νοσοῦντας ἐπὶ σωτηρίᾳ τῶν καμνόντων ψεύσεται, ἢ ψεῦδος ἐρεῖ κατὰ τοὺς σοφιστάς. *Quae et Platonis sententia l. 2. de Rep. extremo.* Hoeschelius. *De hoc medicorum dolo vide* σύγκρισιν, *qua utitur Basil. M. homilia in I. Psalm. Theodoretus lib. 7. de Providentia, Cydonius lib. de contemn. morte, Max. Tyrius Orat. 15. Plutarch.* περὶ ἀγωγ. παιδ. [XVIII, 3.] Idem.

19) τοὺς κάμνοντας· τὸν ἀσθενοῦντα. Similis a plurali numero ad singularem transitus, §. 378. 515., quo non observato, omnibus his locis aliquid mutarunt librarii, item §. 313.

69 νομένων ἀλήθειαν κρύψαι δυνηθῶσιν. Εἰ δὲ βούλει, καὶ ἐγώ
σοι διηγήσομαι δόλον ἕνα ἐκ πολλῶν, ὧν ἤκουσα κατασκευά-
ζειν ἰατρῶν παῖδας.[20] Ἐπέπεσέ[21] ποτε τινὶ πυρετὸς ἀθρόως
μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ ἡ φλὸξ ἤρετο· καὶ τὰ μὲν
δυνάμενα σβέσαι τὸ πῦρ ἀπεστρέφετο ὁ νοσῶν, ἐπεθύμει δὲ,
καὶ πολὺς ἐνέκειτο, τοὺς εἰσιόντας πρὸς αὐτὸν ἅπαντας πα-
ρακαλῶν, ἄκρατον ὀρέξαι πολὺν, καὶ παρασχεῖν ἐμφορηθῆναι
τῆς ὀλεθρίου ταύτης ἐπιθυμίας. Οὐ γὰρ τὸν πυρετὸν ἐκκαύ-
σειν μόνον ἔμελλεν, ἀλλὰ καὶ παραπληξίᾳ παραδώσειν τὸν δεί-
70 λαιον, εἴ τις αὐτῷ πρὸς ταύτην εἶξε τὴν χάριν. Ἐνταῦθα τῆς
τέχνης ἀπορουμένης, καὶ οὐδεμίαν ἐχούσης μηχανὴν ἀλλὰ παν-
τελῶς ἐκβεβλημένης·[22] εἰσελθοῦσα τοσαύτην ἐπεδείξατο τὴν
αὐτῆς δύναμιν ἡ ἀπάτη, ὅσην[23] αὐτίκα παρ' ἡμῶν ἀκούσῃ.
71 Ὁ γὰρ ἰατρὸς ἄρτι τῆς καμίνου[24] προελθὼν ἄγγος ὀστρά-
κου λαβὼν, καὶ βάψας οἴνῳ πολλῷ, εἶτα ἀνασπάσας κενὸν,
καὶ πλήσας ὕδατος, κελεύει τὸ δωμάτιον, ἔνθα κατέκειτο ὁ
νοσῶν, συσκιάσαι παραπετάσμασι πολλοῖς, ἵνα μὴ τὸ φῶς
ἐλέγξῃ τὸν δόλον, καὶ δίδωσιν ἐκπιεῖν ὡς ἀκράτου πεπληρω-
72 μένον. Ὁ δὲ πρὶν εἰς τὰς χεῖρας λαβεῖν, ὑπὸ[25] τῆς ὀσμῆς
προσπεσούσης εὐθέως ἀπατηθεὶς, οὐδὲ πολυπραγμονεῖν[26]
ἠνέσχετο τὸ δοθέν· ἀλλὰ ταύτῃ πειθόμενος, καὶ τῷ σκότει
κλαπεὶς, ὑπό τε τῆς ἐπιθυμίας ἐπειγόμενος, ἔσπασε τοῦ δο-

---

20) *ἰατρῶν παῖδας.* Ita Basilius Sel. *οἱ τῶν ζωγράφων παῖδες.*

21) *ἐπέπεσε.* ἔπεσε, mss. apud Hoesch. et ed. prior Paris. Pariter loquuntur Germani, de catarrhis certe.

22) *ἐκβεβλημένης.* *Erasmus* et *Savilius*, ἐκβεβημένης. Vetus, quem *Savilius* plurimi fecisse videtur, interpres: *superato.* atque Hesychius, ἐκβῆναι ὄρος, καὶ ποταμὸν διαβῆναι. Praestat tamen ἐκβεβλημένης, ex mss. Est enim antitheton εἰσελθοῦσα· et verbum ἐκβάλλω valde familiare Chrysostomo. [Plures editiones exhibent *ἐκβεβημένης*, quam lectionem notante Bengelio secutus est etiam vetus interpres. Res ad liquidum perduci nequit, et utraque lectio ferri bene potest. Caeterum haec verba saepius inter se permutari in Cdd. notandum est. Cf. Euseb. H. E. III, 23. p. 231., ubi pro συμβεβληκότες habet συμβεβηκότες Codex Jonesianus, ut ibi annotavit amicissimus *Heinichen.* *L.*]

23) *ὅσην.* Modica suspensio narrationis, desiderium audiendi suaviter acuit.

24) *τῆς καμίνου.* Sic ed. prima et Aug. ἀπὸ praefigunt alii.

25) *ὑπό.* Et hoc et ἀπατηθεὶς eadem editio omittit; non incommode.

26) *πολυπραγμονεῖν.* Vid. *Valckenar.* ad Eurip. Hippol. p. 247. et *Heindorf.* ad Platon. Charmid. §. 19. *L.*

θέντος [27]) μετὰ πολλῆς τῆς προθυμίας· καὶ ἐμφορηθεὶς ἀπε-
τινάξατο τὸ πνῖγος εὐθέως, καὶ τὸν ἐπικείμενον ἐξέφυγε κίν-
δυνον. εἶδες [28]) τῆς ἀπάτης τὸ κέρδος; καὶ εἰ πάντας βούλοιτό 73
τις τῶν ἰατρῶν καταλέγειν τοὺς δόλους, εἰς ἄπειρον ἐκπεσεῖ-
ται μῆκος ὁ λόγος. Οὐ μόνον δὲ τοὺς τὰ σώματα θεραπεύον- 74
τας, ἀλλὰ καὶ τοὺς τῶν ψυχικῶν νοσημάτων ἐπιμελομένους,
εὕροι τις ἂν συνεχῶς τούτῳ κεχρημένους τῷ φαρμάκῳ. Οὕτω
τὰς πολλὰς μυριάδας ἐκείνας τῶν Ἰουδαίων ὁ μακάριος προσ-
ηγάγετο [29]) Παῦλος. μετὰ ταύτης τῆς προαιρέσεως περιέ-
τεμε [30]) τὸν Τιμόθεον, ὁ Γαλάταις ἀπειλῶν, ὅτι Χριστὸς
οὐδὲν ὠφελήσει τοὺς περιτεμνομένους. διὰ τοῦτο ὑπὸ νόμον
ἐγίνετο, ὁ ζημίαν ἡγούμενος μετὰ τὴν εἰς Χριστὸν πίστιν τὴν
ἀπὸ τοῦ νόμου δικαιοσύνην. Πολλὴ γὰρ ἡ τῆς ἀπάτης ἰσχὺς, 75
μόνον μὴ μετὰ δολερᾶς προσαγέσθω [31]) τῆς προαιρέσεως· μᾶλ-
λον δὲ οὐδὲ ἀπάτην τὸ τοιοῦτον δεῖ καλεῖν, ἀλλ' οἰκονομίαν
τινὰ, καὶ σοφίαν, καὶ τέχνην ἱκανὴν πολλοὺς πόρους ἐν τοῖς
ἀπόροις εὑρεῖν, καὶ πλημμελείας ἐπανορθῶσαι ψυχῆς. Οὐδὲ 76
γὰρ τὸν Φινεὲς ἀνδροφόνον [32]) εἴποιμ' ἂν ἔγωγε, καίτοι γε
μιᾷ πληγῇ δύο σώματα ἀνεῖλεν· ὥσπερ οὐδὲ τὸν Ἠλίαν μετὰ
τοὺς ἑκατὸν στρατιώτας καὶ τοὺς τούτων ἡγεμόνας, καὶ τὸν
πολὺν τῶν αἱμάτων χειμάῤῥουν, ὃν ἐκ τῆς τῶν ἱερωμένων τοῖς

---

27) ἔσπασε τοῦ δοθέντος. Σπάω et cetera bibendi hauriendique verba et genitivum et accusativum regunt, quorum casuum alter partis, alter totius denotandi vim habet: sed discrimen non esse perpetuum, vel hic locus ostendit. [Displicet mihi haec lectio: ἔσπασε τοῦ δοθέντος. Nam innueret h. l. genitivus, aegrotum non omnem aquam, quae in vaso erat, sed ejus partem tantum bibisse. Bene igitur praeeunte vetere Interprete, qui ad sensum recte vertit: *epotavit omne, quod datum est*, sequutus est *Hasselbachius* alteram lectionem: ἔσπασε τὸ δοθέν. *L.*]

28) εἶδες. Eadem locutio, §. 97.

29) προσηγάγετο. Vestigia habemus hic sententiae illius magis nostro tempore excultae de accommodatione. Arridebat ejusmodi συγκατάβασις inter patres ecclesiae etiam Tertulliano de praescriptt. Haeret. c. 23. 24. Clement. Alex. Stromat. VI, p. 802. VII, p. 863. Orig. c. Cels. IV, p. 171. sq. Hieron. ep. 89. Cf. Augustini ep. 76. ad Hieron. scripta. *P. A. Carus. Historia antiquior sententiarum ecclesiae gr. de accommodatione Christo imprimis et apostolis tributa.* Lips. 1793. 4. *Henke's neues Magazin.* 2. Bd. 2. Stck. p. 638 sqq. *Joh. Jahn, Nachträge zu seinen theolog. Werken.* Tüb. 1821. II. Stck.: *Was hielten die Kirchenväter von der Accommodation? L.*

30) περιέτεμε. *De quo Clem. Al. strom. VII. p. 318. Photius in Biblioth. p. 401. Hoeschelius.*

31) προσαγέσθω. Idem verbum, §. 101 ss.

32) ἀνδροφόνον. Eustathius, *ἀνδροφόνος ὁ ἁπλῶς ἄνθρωπον ἀναιρῶν, εἴτε παῖς εἴη ὁ πεσὼν, εἴτε ἀκμαῖος, εἴτε καὶ γυνή.*

77 δαίμοσιν ἐποίησε ῥεῦσαι σφαγῆς. Εἰ γὰρ τοῦτο συγχωρήσαιμεν, καὶ τὰ πράγματά τις τῶν πεποιηκότων τῆς προαιρέσεως γυμνώσας ἐξετάζοι καθ᾽ ἑαυτά· καὶ τὸν Ἀβραὰμ παιδοκτονίας ὁ βουλόμενος κρινεῖ· καὶ τὸν ἔγγονον [33]) τὸν ἐκείνου καὶ τὸν ἀπόγονον. κακουργίας καὶ δόλου γράψεται· οὕτω γὰρ ὁ μὲν τῶν τῆς φύσεως ἐκράτησε πρεσβείων, [34]) ὁ δὲ τὸν τῶν Αἰγυπτίων πλοῦτον εἰς τὸν τῶν Ἰσραηλιτῶν μετήνεγκε στρατόν.
78 ἀλλ᾽ οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἄπαγε τῆς τόλμης· [35]) οὐ γὰρ μόνον αὐτοὺς αἰτίας ἀφίεμεν, ἀλλὰ καὶ θαυμάζομεν διὰ
79 ταῦτα· ἐπεὶ καὶ ὁ Θεὸς αὐτοὺς διὰ ταῦτα ἐπῄνεσεν. Καὶ γὰρ ἀπατεὼν ἐκεῖνος ἂν εἴη καλεῖσθαι δίκαιος ὁ τῷ πράγματι κεχρημένος ἀδίκως, [36]) καὶ πολλάκις ἀπατῆσαι δέον καὶ τὰ μέγιστα διὰ ταύτης ὠφελῆσαι τῆς τέχνης. ὁ δὲ ἐξ εὐθείας [37]) προσενεχθεὶς κακὰ μεγάλα τὸν οὐκ ἀπατηθέντα εἰργάσατο.

---

33) *ἔγγονον.* *Ἔκγονον*, Augustanus. Tantundem. [Quamvis jam veteres scriptores promiscue usurpasse haec vocabula, quod videre est ex nota Eustathii ad Homeri Odyss. III, 123., minime ire possum inficias; tamen apud seriores scriptores Graecos hic invaluit usus, ut *τὰ ἔγγονα* dicerentur filii, *τὰ ἔκγονα* contra essent *τέκνα τέκνων*, ut interpretatus est h. v. Hesychius. Haud raro vero utramque vocem in ipsis Codicibus permutari, docuerunt *Ernesti* ad Callim. T. I, p. 237. *Morus* ad Isocrat. Panegyr. c. 16. *D'Orville* ad Chariton. p. 327. et *Ammonius* ad Ammon. de different. p. 69. *L.*]

34) *πρεσβείων.* Videtur in Jacobo non tam jus primogeniturae, quam benedictionem ex eo pendentem respicere. nam pariter in Homiliis in Genesin ad cap. XXV. nil de fraude dicit; ad cap. XXVII. autem eadem fere quae hic: *Μὴ ἁπλῶς ἐξέταζε τὸ γινόμενον, ἀγαπητὲ, ἀλλὰ τὸν σκοπὸν καταμάνθανε κτλ.* subjungitque eadem Abrahami et Phinees exempla. Utrumque ex dialogo et homilia locum tangit *Leon. Coquaeus* in Comm. ad Augustin. l. 16. de Civit. c. 37. et *Ben. Pererius* in Genesin, ubi de Jacobi facto et communiter de mendacio copiosissime disputat. Illud inprimis animadvertendum est, vocabula *ψεῦδος* et *ἀπάτη* a Chrysostomo per catachresin tantisper, ut correctio adhibita §. 75. et 80. ostendit, vel etiam per mimesin et imitationem Basilii poni. Pulchre ceteroqui mendax cum eo, qui monetam adulterat, comparatur, et merito deterior censetur. Vid. *Jo. Bapt. Persona* in Noctibus Homericis p. 356.

35) *ἄπαγε τῆς τόλμης,* *ἕνεκα* subintelligitur.

36) *ἀδίκως, καὶ πολλάκις - τέχνης.* Sic prima ed. et vetus int. At Augustanus, a manu secunda, *ἀδίκως, οὐχ ὁ μεθ᾽ ὑγιοῦς γνώμης τοῦτο ποιῶν.* quod etiam recentiores editores receperunt; sed glossema arguunt, quae ille subjicit, *τὸν τοιοῦτον κἂν πολλάκις ἀπατῆσαι δέον, καὶ τὰ μέγιστα διὰ ταύτης ὠφελῆσαι τῆς τέχνης, μᾶλλον ἀποδεξόμεθα.*

37) *ἐξ εὐθείας.* Germ. *gerade zu.* Noster, Hom. 2. *περὶ προνοίας καὶ εἱμαρμένης,* ita loquitur de diabolo: *ἐξ εὐθείας οὐκ εἰσάγει κατηγορίαν* (i. e. *calumniam adversus Christum*) *κύκλῳ δὲ περιιὼν ὑποσπείρει λάθρα τὸν ἰὸν τῶν δυσσεβῶν δογμάτων.* [Dicitur etiam *εὐθείᾳ*. Vid. *Heinichen* ad Euseb. de Laud. Const. VI, 21. p. 432. *L.*]

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ Β'.

Τάδε ἔνεστιν ἐν τῷ β' λόγῳ.

α'. Ὅτι [1]) μέγιστον ἡ ἱερωσύνη τεκμήριον τῆς εἰς Χριστὸν ἀγάπης.
β'. Ὅτι ἡ ταύτης ὑπηρεσία τῆς τῶν ἄλλων μείζων.
γ'. Ὅτι μεγάλης δεῖται ψυχῆς καὶ θαυμαστῆς.
δ'. Ὅτι πολλῆς τὸ πρᾶγμα δυσκολίας γέμει, καὶ κινδύνων.
ε'. Ὅτι τῆς εἰς Χριστὸν ἀγάπης ἕνεκεν τὸ πρᾶγμα ἐφύγομεν.
ς'. Ἀπόδειξις τῆς ἀρετῆς τοῦ βασιλείου, καὶ τῆς ἀγάπης τῆς σφοδρᾶς.
ζ'. Ὅτι οὐχ ὑβρίσαι βουλόμενοι τοὺς ψηφισαμένους ἐφύγομεν τὴν χειροτονίαν.
η'. Ὅτι καὶ μέμψεως αὐτοὺς ἀπηλλάξαμεν διὰ τῆς φυγῆς.

Ὅτι μὲν οὖν ἔστι καὶ ἐπὶ καλῷ τῇ τῆς ἀπάτης κεχρῆσθαι [2]) 80
δυνάμει, μᾶλλον δὲ ὅτι μηδὲ ἀπάτην δεῖ τὸ τοιοῦτον καλεῖν,
ἀλλ' οἰκονομίαν τινὰ θαυμαστὴν, ἐνῆν μὲν καὶ πλείονα λέ-
γειν. [3]) ἐπειδὴ δὲ καὶ τὰ εἰρημένα πρὸς ἀπόδειξιν ἱκανὰ γέ-
γονε· φορτικὸν καὶ ἐπαχθὲς, [4]) περιττὸν τῷ λόγῳ προστιθέ-
ναι μῆκος. Σὸν δὲ ἂν εἴη δεικνύναι λοιπὸν, εἰ μὴ τῷ πρά-
γματι τούτῳ πρὸς τὸ κέρδος ἐχρησάμεθα τὸ σόν; Καὶ ὁ Βα- 81
σίλειος· καὶ ποῖον ἡμῖν κέρδος, φησὶν, ἐκ ταύτης γέγονε τῆς
οἰκονομίας, ἢ σοφίας, ἢ ὅπως ἂν αὐτὴν χαίρῃς καλῶν, ἵνα

---

1) ὅτι. Particula pendet à τάδε. Confer Devarium. [Non opus est, ut a praecedente τάδε pendere particulam ὅτι jubeamus. Sic v. c. in Eusebio legitur argumentum cap. 3. libri 1. ὡς καὶ τὸ Ἰησοῦ ὄνομα ἔγνωστό τε ἀνέκαθεν καὶ τετίμητο παρὰ τοῖς θεσπεσίοις προφήταις, pronomine demonstrativo non praecedente. *L.*]

2) ἔστι κεχρῆσθαι. Sic ἐστὶ cum infinitivo, §. 5. 8. 53. 103. et Not. ad §. 226.

3) λέγειν. *Cramerus* vertit hunc locum ita: „*Ich könnte also mehr davon sagen, dass ein unschuldiger Betrug als ein Mittel zu einem guten Endzwecke erlaubt sei, ja vielmehr, dass ein solcher Betrug nicht diesen Namen, sondern den Namen einer bewundernswürdigen Klugheit verdiene.*“ *L.*

4) φορτικὸν καὶ ἐπαχθές. *Es würde plump und lästig sein.* De adject. φορτικός vid. *Heindorf.* ad Plat. Theaetet. p. 176. C. cf. *Aelian.* V. H. XII, 13. 63. *L.*

82 πεισθῶμεν, ὅτι οὐκ ἠπατήμεθα παρὰ σοῦ; Καὶ τί τούτου
τοῦ κέρδους, ἔφην, ἂν γένοιτο μεῖζον, ἢ τὸ 5) ταῦτα φαίνε-
σθαι πράττοντας, ἅπερ δείγματα τῆς εἰς τὸν Χριστὸν ἀγά-
83 πης, αὐτὸς ἔφησεν· εἶναι ὁ Χριστός; Πρὸς γὰρ τὸν κορυ-
φαῖον 6) τῶν ἀποστόλων διαλεγόμενος· Πέτρε, φησὶν, φιλεῖς
με; τούτου δὲ ὁμολογήσαντος, ἐπιλέγει· εἰ φιλεῖς με, ποί-
84 μαινε τὰ πρόβατά μου. Ἐρωτᾷ 7) τὸν μαθητὴν ὁ διδάσκαλος,
εἰ φιλοῖτο παρ᾽ αὐτοῦ, οὐχ ἵνα αὐτὸς μάθῃ· πῶς γὰρ, ὁ τὰς
ἁπάντων ἐμβατεύων 8) καρδίας; ἀλλ᾽ ἵνα ἡμᾶς διδάξῃ, ὅσον
αὐτῷ μέλει τῆς τῶν ποιμνίων ἐπιστασίας τούτων. Τούτου δὲ
ὄντος δήλου, κἀκεῖνο ὁμοίως ἔσται φανερὸν, ὅτι πολὺς καὶ
ἄφατος ἀποκείσεται 9) μισθὸς τῷ περὶ ταῦτα πονουμένῳ, ἃ

---

5) *τὸ*, vid. *Viger.* p. 23. *Matthiae.* Gr. Gr. min. §. 279. *L.*

6) *τὸν κορυφαῖον.* Haec sententia tunc jam invaluerat. „At Christus certe nullo pacto voluit Petrum reliquis apostolis cunctis praeferre. vid. Matth. XX, 26. XVIII, 1. 18. add. Act. XV. ubi non Petri, sed Jacobi sententiam ecclesia secuta esse legitur; et Petrus ipse se *συμπρεσβύτερον* vocavit 1 ep. V, 1. 2.“ *Kuinoel.* ad Matth. XVI, 18.

7) *ἐρωτᾷ.* Interrogat semel, iterum, tertio; *ut intelligeretur,* inquit Bernardus, *quisquis aliis praeficitur, diligere Deum debere plusquam sua, plusquam suos, plusquam se.* [Imo ter quaesivisse videtur divinus Messias ex Petro, *εἰ φιλοῖτο παρ᾽ αὐτοῦ,* quia ter negaverat Petrus, se nosse Jesum. *L.*]

8) *ὁ τὰς ἁπάντων ἐμβατεύων καρδίας.* Ἐμβατεύω, proprie, *ingredior, pervado.* LXX. Josu. XIX. 51. *ἐπορεύθησαν ἐμβατεῦσαι τὴν γῆν. Themistius* Or. IX. *Θεῖαι δυνάμεις ἐπ᾽ ἀγαθῷ τῶν ἀνθρώπων ἐμβατεύουσι τὴν γῆν, ἐκ τοῦ οὐρανοῦ κατιοῦσαι.* Sic enim interpungi hunc locum oportuit. Transfertur ad facultatem cognoscentem, quatenus ea vel scrutatur rem, vel de ea quocunque modo statuit et decernit, vel etiam ipsam penetrat. *Xenophon,* [Symp. IV, 27. si sana lectio. *L.*] *ἐν τῷ αὐτῷ βιβλίῳ ἀμφότεροι ἐμβατεύετέ τι. consertis capitibus et humeris in uno vos libro aliquid investigantes vidi.* Adhibetur autem in utramque partem. v. gr. Col. 2, 18. de temeraria tractatione; quem ad locum illa a Themistio et Xenophonte contulerunt Al. Morus et G. Raphelius, ex aliis alia. Suicerus Thes. T. I. col. 1098. Greg. Naz. *ὁ σοφισάμενος περισσὰ ὅσῳ πλέον ἐμβατεύει τοῖς βάθεσι, τοσούτῳ πλέον ἰλιγγιᾷ.* In bonam partem saepissime ponitur a patribus, Chrysostomo imprimis: qui DEUM, cordium permeatorem laudantes, dicunt, *ἐμβατεύειν ἄχρι καὶ αὐτῶν ἐννοιῶν,* et, *ταῖς καρδίαις,* et, *εἰς τὰς καρδίας,* et, eodem quo hic casu, *τὰς καρδίας.* Exempla Suicerus cumulavit l. c. [Hesych. *ἐμβατεύσας· ζητήσας.* Lucian. Tim. 52. *ἐπεὶ δὲ οὐ θέμις, εἰδώλοις ἀεὶ ξυνόντα ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διὸς, ὥρα ἡμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν.* Aeschyl. Pers. 449. Dionys. Halic. Ant. Rom. I, p. 196. 2 Macc. II, 30. *Jacobs.* ad Anthol. gr. Vol. II, 2. *Schleusner.* Lex. N. T. s. h. v. *Bos.* Exercitat. in N. T. p. 206. et *Wetsten.* ad Coloss. II, 18. *L.*]

9) *ἀποκείσεται.* vid. *Wahl.* Cl. N. T. T. I. p. 125. et *Schleusner.* Lex. in LXX Intpp. T. I, p. 376. *L.*

πολλοῦ τιμᾶται ὁ Χριστός. Εἰ γὰρ ἡμεῖς, ὅτ' ἂν ἴδωμεν τῶν 85
οἰκετῶν ἢ τῶν οἰκείων [10]), τῶν θρεμμάτων τῶν ἡμετέρων ἐπι-
μελουμένους, τινὰς, τῆς περὶ ἡμᾶς ἀγάπης τὴν εἰς ἐκεῖνα σπου-
δὴν τιθέμεθα σημεῖον, καίτοι γε ταῦτα πάντα χρημάτων ἐστὶν
ὠνητά· ὁ μὴ χρημάτων μηδὲ ἄλλου τινὸς τοιούτου, ἀλλ' ἰδίῳ
θανάτῳ τὸ ποίμνιον πριάμενος τοῦτο καὶ τιμὴν [11]) τῆς ἀγέ-
λης τὸ αἷμα δοὺς τὸ ἑαυτοῦ, πόσῃ τοὺς ποιμαίνοντας αὐτὸ
ἀμείψεται δωρεᾷ; διά τοι τοῦτο εἰπόντος τοῦ μαθητοῦ· σὺ 86
οἶδας Κύριε, ὅτι φιλῶ σε, καὶ μάρτυρα τῆς ἀγάπης αὐτὸν
τὸν ἀγαπώμενον καλέσαντος, οὐκ ἔστη μέχρι τούτου [12]) ὁ Σω-
τὴρ, ἀλλὰ καὶ τὸ τῆς ἀγάπης προσέθηκε σημεῖον. Οὐ γὰρ 87
ὅσον ὁ Πέτρος αὐτὸν ἐφίλει, τότε ἐπιδεῖξαι ἐβούλετο (καὶ
γὰρ ἐκ πολλῶν τοῦτο ἤδη ἡμῖν γέγονε δῆλον·) ἀλλ' ὅσον αὐ-
τὸς τὴν ἐκκλησίαν ἀγαπᾷ τὴν ἑαυτοῦ, καὶ Πέτρον καὶ πάν-
τας ἡμᾶς μαθεῖν ἠθέλησεν, ἵνα καὶ ἡμεῖς πολλὴν περὶ αὐτὰ
εἰσφέρωμεν τὴν σπουδήν. Διὰ τί [13]) γὰρ υἱοῦ καὶ μονογενοῦς 88
οὐκ ἐφείσατο ὁ Θεὸς, ἀλλ' ὃν μόνον εἶχεν, ἐξέδωκεν; ἵνα
τοὺς ἐχθρωδῶς [14]) πρὸς αὐτὸν διακειμένους ἑαυτῷ καταλλάξῃ
καὶ ποιήσῃ λαὸν περιούσιον. [15]) διὰ τί καὶ τὸ αἷμα ἐξέχεεν;
ἵνα τὰ πρόβατα κτήσηται ταῦτα, ἃ τῷ Πέτρῳ καὶ τοῖς μετ'

---

10) *οἰκείων, τῶν.* Deest hoc in multis; hiatu scilicet facili ob recurrens *τῶν*, sed comparationis concinnitatem imminuente. Idem paregmenon habet *Zosimus* lib. V. *τῶν οἰκετῶν καὶ ἄλλως οἰκείων.* [Quamvis a multis Cdd. desint haec vocabula, tamen ego quoque salvam esse receptam lectionem arbitror. Quae causae impulerint *Hasselbachium* ad eliminanda haec verba in versione vernacula, ignoro. Nimis anxie *Montefalconii* premere videtur vestigia. A Xenoph. in Memor. Socr. junguntur etiam, *οἰκέταις καὶ οἰκείοις.* Cf. IV, 4, 17. *L.*]

11) *τιμήν. vid.* Wahl. Cl. N. T. T. II, p. 553. *L.*

12) *μέχρι τούτου.* Ita *Savil.* et quidam Mss. — *Montefalc.* contra ex optimis libris dedit *μέχρι τούτων.* *L.*]

13) *διὰ τί.* Verba desumta sunt ex ep. ad Tit. II, 14., quem locum memoriter citasse videtur Chrysostomus. *L.*

14) *ἐχθρωδῶς.* Id frequentius, quam primae editionis *ἐχθρῶς.* Una Homilia 27. in Gen. quater habet *ἐχθρωδῶς διακεῖσθαι.* [*Morel.* et *Hughes.* *τοὺς ἐχθρῶς.* *Savil.* et *Montefalcon.* ut in textu est. *L.*]

15) *λαὸν περιούσιον.* Quadrabat haec compellatio proprie in Israelitas, qui et vocabantur עַם סְגֻלָּה v. c. Exod. XIX, 5. Deut. VII, 6. XIV, 2. ubi LXX. vertunt *λαὸς περιούσιος,* de quo voc. vid. *Joh. Frid. Fischer.* de vit. Lexx. N. T. Part. XII, p. 313. et *Kopp.* ad Tit. II, 14. *L.*

ἐκεῖνον[16]) ἐνεχείρισεν.[17]) Εἰκότως[18]) ἄρα ἔλεγεν ὁ Χριστός·
89 Τίς ἄρα[19]) ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ
κύριος αὐτοῦ ἐπὶ τὴν οἰκίαν[20]) αὐτοῦ; πάλιν τὰ μὲν ῥήματα
ἀποροῦντος, ὁ δὲ φθεγγόμενος αὐτὰ οὐκ ἀπορῶν ἐφθέγγετο·
ἀλλ᾽ ὥσπερ τὸν Πέτρον ἐρωτῶν, εἰ φιλοῖτο, οὐ μαθεῖν δεό-
μενος τοῦ μαθητοῦ τὸν πόθον ἠρώτα, ἀλλὰ δεῖξαι βουλόμε-
νος τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν· οὕτω καὶ νῦν λέγων·
Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; οὐ τὸν πιστὸν καὶ
φρόνιμον ἀγνοῶν ἔλεγεν, ἀλλὰ παραστῆσαι θέλων τὸ τοῦ
πράγματος σπάνιον,[21]) καὶ τῆς ἀρχῆς ταύτης, τὸ μέγεθος.
Ὅρα γοῦν καὶ τὸ ἔπαθλον ὅσον· ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν
90 αὐτοῦ καταστήσει αὐτόν. Ἔτι οὖν ἀμφισβητήσεις ἡμῖν τοῦ
μὴ καλῶς ἠπατῆσθαι, πᾶσι μέλλων ἐπιστήσεσθαι τοῦ Θεοῦ

---

16) *τῷ πέτρῳ καὶ τοῖς μετ᾽ ἐκεῖνον.* Germ. Brixius: *tum Petro tum Petri successoribus. Bern. Montefalconius: Petro et successoribus ejus. Jac. Ceratinus seu David Hoeschelius: Petro et ejus vestigia imitantibus.* Pressius interpres vetus: *Petro deinceps ceterisque.* Omnino hoc *μετὰ successores* Petri significat; sed successores non modo omnium seculorum, sed etiam omnium locorum, pastoresque omnium ovium redemtarum, ipsumque adeo Basilium. §. 90. Expende totum contextum, inprimisque illud: *καὶ πέτρον καὶ πάντας ἡμᾶς.* §. 87. et confer Homil. 87. in h. l. Johannis c. XXI. 15 seq. Ambrosius: *Vae jam mihi est, si claustra humanae imperitiae, per claves illas regni coelorum, quas in beato Petro apostolo* cuncti suscepimus sacerdotes, *minime reseravero, ut audire per haec merear pro linguae meae modulo:* Euge serve bone et fidelis, quia in pauca fuisti fidelis, supra multa te constituam: intra in gaudium Domini tui. *lib. de Dign. sacerd.* c. 1. Bellarminum hoc Dialogo nitentem refutavit *Fr. Junius.*

17) *ἐνεχείρισεν.* Augustanus, *ἐνεχείριζεν· committebat*, scil. quum *pasce* dixit.

18) *εἰκότως ἄρα. Aliquot Mss.* εἰκότως ἄρα καὶ δικαίως. *Montef.* Sic quoque Augustanus. Conf. §, 383.

19) *τίς ἄρα.* Vid. Matth. XXIV, 45. *ὃν κατέστησεν.* Ita est in Matth. l. l., neque ab hac lectione recedendum puto, quod visum est *Hasselbachio.* Alia ratio est sub finem paragraphi, ubi sane suo loco est futurum. *L.*

20) *ἐπὶ τὴν οἰκίαν αὐτοῦ. Evangelistae,* ἐπὶ τῆς θεραπείας αὐτοῦ· *sed in citandis Scripturae testimoniis Veteres interdum erant liberiores, contenti sensum expressisse. Quod et Homilia* Chrysost. *III. contra Jud. observavi; ubi integra etiam legitur periodus, quae Jer.* 29, 13. *in Graecis Bibliis desideratur: post* καὶ ἐπιφανοῦμαι ὑμῖν· *haec nimirum verba:* Καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν ὑμῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν, καὶ ἐκ πάντων τῶν τόπων, οὗ διέσπειρα ὑμᾶς ἐκεῖ, φησὶ Κύριος. Καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον, ὅθεν ἀπῴκισα ὑμᾶς ἐκεῖ. *Hoeschel.*

21) *τὸ — σπάνιον, quam rara sit haec res.* vid. Xenoph. Anab. I, 9, 27. *L.*

τοῖς ὑπάρχουσι, καὶ ταῦτα πράττων,[22]) ἃ καὶ τὸν Πέτρον
ποιοῦντα[23]) ἔφησε[24]) δυνήσεσθαι καὶ τῶν[25]) ἀποστόλων ὑπερ-
ακοντίσαι[26]) τοὺς λοιπούς. Πέτρε γάρ φησι, φιλεῖς με
πλεῖον τούτων;[27]) καίτοι γ' ἐνῆν εἰπεῖν πρὸς αὐτὸν, εἰ φι- 91
λεῖς με, νηστείαν ἄσκει, χαμευνίαν,[28]) ἀγρυπνίας συντόνους,
προΐστασο τῶν ἀδικουμένων, γίνου[29]) ὀρφανοῖς ὡς πατὴρ,
καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν. νῦν δὲ πάντα ταῦτα ἀφεὶς
τί φησι; ποίμαινε τὰ πρόβατά μου.

II. Ἐκεῖνα μὲν γὰρ,[1]) ἃ προεῖπον, καὶ τῶν ἀρχομένων 92
πολλοὶ δύναιντ' ἂν ἐπιτελεῖν ῥαδίως, οὐκ ἄνδρες μόνον, ἀλλὰ
καὶ γυναῖκες· ὅταν δὲ ἐκκλησίας προστῆναι δέῃ καὶ ψυχῶν
ἐπιμέλειαν πιστευθῆναι τοσούτων, πᾶσα μὲν ἡ γυναικεία φύ-
σις παραχωρείτω τῷ μεγέθει τοῦ πράγματος, καὶ ἀνδρῶν δὲ
τὸ πλέον· ἀγέσθωσαν δὲ εἰς μέσον οἱ πολλῷ τῷ μέτρῳ πλε- 93
ονεκτοῦντες ἁπάντων, καὶ τοσοῦτον ὑψηλότεροι τῶν ἄλλων
κατὰ τὴν τῆς ψυχῆς ὄντες ἀρετὴν, ὅσον τοῦ παντὸς ἔθνους
Ἑβραίων κατὰ τὰ τοῦ σώματος μέγεθος ὁ Σαοὺλ;[2]) μᾶλλον

---

22) *πράττων.* Sic ed. prima et int. vetus. *πράττειν*, mss. apud Hoeschelium, ut pendeat a *μέλλων.* Sed laudatur *praesens* jamjam pastoralis *actio* functioque Basilii.

23) *ποιοῦντα.* Videlicet oves Domini pascentem.

24) *ἔφησε.* Sic §. 82. 121. Ed. prima, *ἐφῆκε.*

25) *καὶ τῶν.* *Καὶ* omittit Augustanus et interpres vetus.

26) *ὑπερακοντίσαι.* In amore. nam sequitur: *Amas me plus quam hi?* „Ὑπερακοντίσαι, ἀντὶ τοῦ νικῆσαι. *Athen. lib.* 4. παρὰ δὲ Ῥωμαίοις μνημονεύεται, Ἀπίκιόν τινα ἐπὶ ἀσωτίᾳ πάντας ἀνθρώπους ὑπερηκοντικέναι.“ *Hoeschelius.*

27) *πλεῖον τούτων.* Hic iam recentiores repraesentant verba illa: *ποίμαινε τὰ πρόβατά μου.* Sed Erasmi editio et vetus interpres, suavissime suspenso sermone, subaudienda relinquunt, et periodo solum sequente ponunt, ubi etiam *τί φησι* rei novae et inexspectatae convenit. Non semper totidem verbis reponi solent testimonia. conf. §. 102. 103. 119. 182. 196. 200. 233. 397. 434. 497. et Notas subinde ad haec loca. Neque obstat, quod sequitur, *καίτοιγε.* coll. §. 349.

28) *χαμευνία. humi cubatio.* Sic Il. Π, 235. *χαμαιεῦναι* sunt Scholiasta auctore: *οἱ ἐπὶ τοῦ ἐδάφους κοιμώμενοι.* vide *Perizon.* ad Aelian. IX, 24, 5. Cf. *Suicer.* in Thes. s. h. v. *Du Fresne.* Glossar Gr. et *Hughes* ad h. l. *L.*

29) *γίνου.* Vetus int. *sito*, pro *esto.* Extat hic locus Sir. 4, 10.

1) *ἐκεῖνα μὲν γάρ.* Hoc et sequentia hujus libri aliaque Dialogi capita laudant *C. Kortholtus* in lib. de Onere sacerd. (*Priester-Bürde*) Not. ad Num. IX. *J. L. Hartmannus* in Pastorali evang. lib. 1. cap. 1. et *G. Arnoldus* in Idea (*Gestalt*) Doctoris evangelici capp. 3. 15. et alibi.

2) *ὁ Σαούλ.* vid. 1 Sam. X, 23. *L.*

94 δὲ καὶ πολλῷ πλέον. Μὴ γάρ μοι μόνον ὑπεροψίας ἐνταῦθα
ζητείσθω μέτρον, ἀλλ' ὅση πρὸς τὰ ἄλογα τῶν λογικῶν ἀν-
θρώπων [3]) ἡ διαφορὰ, τοσοῦτον τοῦ ποιμένος καὶ τῶν ποι-
μαινομένων ἔστω τὸ μέσον, ἵνα μὴ καὶ πλέον τι εἴπω· καὶ
95 γὰρ περὶ πολλῷ μειζόνων ὁ κίνδυνος. Ὁ μὲν γὰρ πρόβατα
ἀπολλὺς, ἢ λύκων ἁρπασάντων ἢ λῃστῶν ἐπιστάντων, ἢ λοι-
μοῦ τινος ἢ καὶ ἄλλου συμπτώματος [4]) ἐπιπεσόντος, τύχοι
μὲν ἄν τινος καὶ συγγνώμης παρὰ τοῦ κυρίου τῆς ποίμνης·
εἰ δὲ καὶ δίκην ἀπαιτοῖτο, μέχρι τῶν χρημάτων [5]) ἡ ζημία.
ὁ δὲ ἀνθρώπους πιστευθεὶς, τὸ λογικὸν τοῦ Χριστοῦ ποί-
μνιον, πρῶτον μὲν οὐκ εἰς χρήματα, ἀλλ' εἰς τὴν ἑαυτοῦ
ψυχὴν τὴν ζημίαν ὑφίσταται ὑπὲρ τῆς τῶν προβάτων ἀπω-
96 λείας. Ἔπειτα καὶ τὸν ἀγῶνα πολλῷ μείζονα καὶ χαλεπώτε-
ρον ἔχει. οὐ γὰρ αὐτῷ πρὸς λύκους ἡ μάχη οὐδὲ ὑπὲρ λῃ-
στῶν δέδοικεν, οὐδὲ ἵνα λοιμὸν ἀπελάσῃ τῆς ποίμνης φροντί-
97 ζει· ἀλλὰ [6]) πρὸς τίνας ὁ πόλεμος; μετὰ τίνων ἡ μάχη;
Ἄκουε [7]) τοῦ μακαρίου Παύλου λέγοντος. οὐκ ἔστιν ἡμῖν ἡ
πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς
ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος
τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἐν τοῖς ἐπουρα-
νίοις. Εἶδες πολεμίων πλῆθος δεινὸν, καὶ φάλαγγας ἀγρίας,
οὐ σιδήρῳ πεφραγμένας, ἀλλ' ἀντὶ πάσης πανοπλίας ἀρκου-
98 μένας τῇ φύσει; Βούλει καὶ ἕτερον στρατόπεδον ἰδεῖν ἀπηνὲς
καὶ ὠμὸν, ταύτῃ προσεδρεῦον τῇ ποίμνῃ; καὶ τοῦτο ἀπὸ τῆς
αὐτῆς ὄψει περιωπῆς. [8]) ὁ γὰρ περὶ ἐκείνων διαλεχθεὶς, οὗ-
τος καὶ τούτους ἡμῖν ὑποδεικνύει τοὺς ἐχθροὺς ὧδέ πως λέ-
γων· Φανερὰ δέ ἐστι τὰ τῆς σαρκὸς ἔργα, ἅτινά ἐστι, πορ-

---

3) τῶν λογικῶν ἀνθρώπων. Vetus interpres: *ratione utentium*, non addito *hominum*. et sane ἀνθρώπων glossema videtur. [Retinuit tamen h. v. *Montefalc. L.*]

4) συμπτώματος. Idem verbum, §. 462.

5) μέχρι χρημάτων ἡ ζημία. Haec ita Germanice ad sensum verterim: *Der Schaden hört auf, mit der Bezahlung des Geldes.* Denotat enim μέχρι finem, quo res quaedam esse desiit, ut docuit. b. *Tittmann. Lex. Syn. N. T.* Spec. II. p. V. sqq. *L.*

6) ἀλλὰ κλ. Unus codex, ἀλλ' ὅπως τοὺς πιστεύοντας διασώσῃ ἀπὸ τῶν ἀεὶ ἐφεδρευόντων δαιμόνων. ὅτι δὲ πρὸς τούτους ὁ πόλεμος, καὶ μετὰ τούτων ἡ μάχη, ἄκουε. Glossam sapit.

7) ἄκουε. Ephes. VI, 12. *L.*

8) περιωπῆς. i. e. Idem Paulus eundem tibi monstrabit exercitum. ἡ περιωπή, vernacule: *die Warte.* L.

νεία, [9]) μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρ-
μακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ,
ψιθυρισμοὶ, φυσιώσεις, ἀκαταστασίαι, καὶ ἕτερα τούτων πλεί-
ονα. οὐ γὰρ πάντα κατέλεξεν, ἀλλ᾽ ἐκ τούτων ἀφῆκεν εἰδέναι
καὶ τὰ λοιπά. Καὶ ἐπὶ μὲν τοῦ ποιμένος τῶν ἀλόγων, οἱ 99
βουλόμενοι διαφθεῖραι τὴν ἀγέλην, ὅταν ἴδωσι τὸν ἐφεστῶτα
φεύγοντα, τὴν πρὸς ἐκεῖνον μάχην ἀφέντες ἀρκοῦνται τῇ τῶν
θρεμμάτων [10]) ἁρπαγῇ· ἐνταῦθα δὲ, κἂν ἅπασαν λάβωσι τὴν
ποίμνην, οὐδ᾽ οὕτω τοῦ ποιμαίνοντος ἀφίστανται, ἀλλὰ μᾶλ-
λον ἐφεστήκασι, καὶ πλέον θρασύνονται, καὶ οὐ πρότερον
παύονται, ἕως ἂν ἢ καταβάλωσιν ἐκεῖνον ἢ νικηθῶσιν αὐτοί.
Πρὸς δὲ τούτοις τὰ μὲν τῶν θρεμμάτων [11]) νοσήματα καθέ- 100
στηκε φανερὰ, κἂν λιμὸς ᾖ, κἂν λοιμὸς, κἂν τραῦμα, κἂν ὅ
τι δή ποτ᾽ οὖν [12]) ἕτερον ᾖ τὸ λυποῦν· οὐ μικρὸν δὲ τοῦτο
δύναιτ᾽ ἂν πρὸς τὴν τῶν ἐνοχλούντων ἀπαλλαγήν. Ἔνι δέ 101
τι καὶ ἕτερον τούτου μεῖζον, τὸ ποιοῦν ταχεῖαν τῆς ἀῤῥω-
στίας ἐκείνης τὴν λύσιν. τί δὲ τοῦτό ἐστι; μετὰ πολλῆς τῆς
ἐξουσίας καταναγκάζουσι τὰ πρόβατα οἱ ποιμένες δέχεσθαι τὴν
ἰατρείαν, ὅτ᾽ ἂν ἑκόντα μὴ ὑπομένῃ. καὶ γὰρ δῆσαι εὔκολον,
ὅτ᾽ ἂν καῦσαι [13]) δέῃ καὶ τεμεῖν· καὶ φυλάξαι ἔνδον ἐπὶ χρό-
νον πολὺν, ἡνίκα ἂν τοῦτο συμφέρῃ· καὶ ἑτέραν δὲ ἀνθ᾽ ἑτέ-
ρας προσαγαγεῖν τροφὴν, καὶ ἀποκλεῖσαι ναμάτων· καὶ τὰ
ἄλλα δὲ πάντα, ὅσα περ ἂν δοκιμάσωσι πρὸς τὴν ἐκείνων
ὑγίειαν συμβαλέσθαι, μετὰ πολλῆς προσάγουσι τῆς εὐκολίας. [14])

---

9) *πορνεία - ἀκαταστασίαι.* Gal. 5, 20. simul et 2. Cor. 12, 20.

10) *θρεμμάτων.* *Philo* p. 519. τοὺς ἐν ταῖς ποίμναις (κύνας) φασὶ προαγωνιζομένους τῶν θρεμμάτων ἄχρι θανάτου παραμένειν. *Apolinarius Psalmo* 78. v. 30. ἡμῖν γὰρ σέο λαὸς, ἄναξ, καὶ θρέμματα ποίης. *ubi* 70. *int.* πρόβατα νομῆς σόυ. *ut et Ps.* 94. *Sunt et qui apud Lat.* oves *non improprie* pecudes *dici existimant* παρὰ τὸν πόκον *a* velleribus. *Hoeschelius.*

11) *θρεμμάτων.* *In mss.* προβάτων. Idem: *ovium*, vetus interpres.

12) *ὅτι δή ποτ᾽ οὖν.* Erasmus, ὅ τι δήποτε. Sed sic quoque, τί ποτοῦν. §. 56.

13) *καῦσαι.* Hoc imprimis in animalium medicinis remedium esse voluerunt veteres. Sic praecipit Veget. Art. Veterin. Lib. I, c. 28.: *Cum candente ferro cuperis cutem, vitium omne concoquitur et maturatur, et beneficio ignis dissolutum, per foramina, quae facta sunt, effluit cum humore. L.*

14) *καὶ τὰ ἄλλα - εὐκολίας.* Vetus interpres: *et ad condium omnia, quae pastor viderit, admovet, renitente nullo,* Gre-

102 Τὰς δὲ τῶν ἀνθρώπων ἀῤῥωστίας πρῶτον μὲν οὐκ ἔστιν ἀν-
θρώπῳ ῥᾴδιον ἰδεῖν· οὐδεὶς γὰρ οἶδε [15]) τὰ τοῦ ἀνθρώπου,
εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ.

III. Πῶς οὖν τις προσαγάγοι τῆς νόσου τὸ φάρμακον,
ἧς τὸν τρόπον οὐκ οἶδε, πολλάκις δὲ μηδὲ εἰ τυγχάνοι νοσῶν
103 δυνάμενος συνιδεῖν; Ἐπειδὰν δὲ καὶ καταφανὴς γένηται, τότε
πλείον' αὐτῷ παρέχει [1]) τὴν δυσχέρειαν. Οὐ γάρ ἐστι μετὰ
τοσαύτης ἐξουσίας ἅπαντας [2]) θεραπεύειν ἀνθρώπους, μεθ'
ὅσης τὸ πρόβατον ὁ ποιμήν. ἔστι μὲν γὰρ καὶ ἐνταῦθα καὶ
δῆσαι, καὶ τροφῆς ἀπεῖρξαι, καὶ καῦσαι, καὶ τεμεῖν· ἀλλ' ἡ
ἐξουσία τοῦ δέξασθαι τὴν ἰατρείαν, οὐκ ἐν τῷ προσάγοντι τὸ
φάρμακον, ἀλλ' ἢ [3]) ἐν τῷ κάμνοντι κεῖται. τοῦτο γὰρ καὶ
ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ συνειδὼς [4]) Κορινθίοις ἔλεγεν·
Οὐχ ὅτι [5]) κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν

---

gorius Turonensis: *condia duo.* Producit hunc Vossius l. 3. de Vitiis Lat. serm. sed ita, ut *congia* conjiciat. *condia* igitur noster firmat interpres. *Κόνδυ*, poculum decem cotylarum, apud Athenaeum: inde *condium.* Proverbium, *ad condium*, ut ex hoc loco apparet, mensuram largiorem notabat. Jesa. 51, 17: *τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες καὶ ἐξεκένωσας.* Martinius ex Glossis: *condavit, προσένειμεν.*

15) οἶδε. Sic ed. prima et int. vetus. Ceteri, ex Paulo, *ἀνθρώπων* addunt. [Recte omisit h. v. *Bengel. L.*]

1) παρέχει. Gregorius Nazianzenus in Apologetico: *Τῷ ὄντι αὕτη μοι φαίνεται τέχνη τις εἶναι τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ἄνθρωπον ἄγειν, τὸ πολυτροπώτατον τῶν ζώων καὶ ποικιλώτατον.* p. 332. ed. Thirlb. ubi plura legas.

2) ἅπαντας. Apte hoc inseritur. Nam ab hoc genere transit §. seq. ad speciem. [Comparaverat supra §. 101. Chrysostomus ecclesiam cum grege quodam, ejusque episcopos cum pastore, et dixerat, oves quando non velint admittere curationem, vi cogi posse. Nunc vero demonstrare conatur, multo difficiliorem esse illam hominum curam, qui non ita, ut greges cogi possint. Sed uti nunc leguntur verba, concedere sane videtur Chrysostomus, nonnullis hominum eodem modo mederi posse episcopum ut pastorem gregi. Qui quidem sensus quum prorsus sit absonus minimeque quadret in reliquum sermonem, ambabus manibus arripio conjecturam *Hasselbachii*, qua verius nihil cogitari potest, qui pro *ἅπαντας* legendum censuit ἄκοντας. Optime etiam respondet hoc voc. verbis, quae supra legebantur: ὅτ' *ἂν ἑκόντα μὴ ὑπομένῃ. L.*]

3) ἀλλ' ἐν. Ita recte edidit *Montefalconius.* Male in edit. *Morel.* et *Bengel.* est *ἀλλ' ἢ ἐν τῷ κάμνοντι.* Vid. *Herm.* ad Viger. p. 812. *L.*

4) συνειδώς. *συνιδὼν Erasmus.* [Vid. quae de eadem lect. var. disputavit *Fischerus* in Ind. Palaeph. s. *εἴδειν. L.*]

5) οὐχ ὅτι. *Οὐ γάρ. Sic Savil. et omnes mss. Mont.* Etiam *Hoescheliani, οὐ γάρ.* [Et sic recte scribitur. Nam apud apostolum particula *ὅτι* arcte conjungit versum 24. cum versu 25. No-

τῆς χαρᾶς ὑμῶν. Μάλιστα μὲν [6]) γὰρ ἁπάντων χριστιανοῖς 104
οὐκ ἐφεῖται πρὸς βίαν ἐπανορθοῦν [7]) τὰ τῶν ἁμαρτανόντων
πταίσματα. Ἀλλ᾽ οἱ μὲν ἔξωθεν δικασταὶ τοὺς κακούργους
ὅταν ὑπὸ τοῖς νόμοις λάβωσι, πολλὴν ἐπιδείνυνται τὴν ἐξου-
σίαν, καὶ ἄκοντας τοῖς τρόποις κωλύουσι χρῆσθαι τοῖς αὐτῶν·
ἐνταῦθα δὲ οὐ βιαζόμενον, ἀλλὰ πείθοντα [8]) δεῖ ποιεῖν ἀμείνω
τὸν τοιοῦτον. Οὔτε γὰρ ἡμῖν ἐξουσία τοσαύτη παρὰ τῶν νό- 105
μων δέδοται πρὸς τὸ κωλύειν τοὺς ἁμαρτάνοντας· οὔτε, εἰ
καὶ ἔδωκαν, εἴχομεν ὅποι καὶ χρησώμεθα [9]) τῇ δυνάμει· οὐ

---

stro vero in loco illud ὅτι prorsus superfluum foret. Neque etiam admodum curiosus est Chrysostomus in retinendis singulis verbis biblicis, ut multis locis docuit *Bengelius*. „Attamen cum verbis S. Pauli suffragentur F. H., iis cum Ducaeo utendum duximus," dicit *Hughes*. Locus ipse, quem citat Chrysostomus, legitur 2. Cor. I, 23. *L.*]

6) *μάλιστα μέν*. *Joh. Heinichius* Hist. Eccl. Part. II. in Appendice, qua insignes Chrysostomi locos per paginas prope quadringentas exhibet, haec quoque verba pag. 779. excerpsit, et quae §. 118. sequuntur. Tum: *Est hic locus bene*, inquit, *notandus contra Pontificios, qui ecclesiae jurisdictionem quamdam coactivam adserere non dubitant.* etc. *Hinc recte monet Chrysostomus noster episcopum, qui utique Christum imitari debet, officio suo fungi* οὐ βιαζόμενον, ἀλλὰ πείθοντα, non cogendo sed suadendo. *Quomodo itaque is, qua talis est, jus regnandi in homines humano more ullum obtinet? Idem vir eximius homilia XI. Epist. ad Ephes.* Εἰς διδασκαλίαν λόγου προεχειρίσθημεν, οὐχ εἰς ἀρχὴν, οὐδὲ εἰς αὐθεντίαν. κλ. ad docendos verbo homines constituti sumus, non ad imperium, non ad exercitium potestatis. consiliariorum locum obtinemus suadentium. qui consilium dat, de suo dicit; auditorem non cogit, sed liberam ei relinquit electionem circa ea quae dicuntur. *Similiter Ambrosius lib. II. de Cain et Abel cap. IV.* Sacerdos quidem officium suum exhibet; at nullius potestatis jura exercet. [Ipse etiam Lactantius Institutt. V, 20. ait: „Non est opus vi et injuria, quia religio cogi non potest; verbis potius, quam verberibus res agenda est." *L.*]

7) *πρὸς βίαν ἐπανορθοῦν*. Eidem sententiae tenaciter adhaeret ecclesia evangelica, excommunicationem, quam dicunt, majorem minime probans. Vid. Artt. Smalcald. III, art. IX. p. 333. *Rechenb.* „Majorem illam excommunicationem, quam Papa ita nominat, non nisi civilem poenam esse ducimus, non pertinentem ad nos ministros Ecclesiae." Cf. *Schleiermacher's Reden über die Religion.* 3. A. B. 1821. p. 188. „*Die evang. Kirche wird gegen solche Menschen, die irgend jemand für ketzerisch halten, und mit dem Banne belegen möchte, keine andere Pflicht anerkennen, als Gemeinschaft mit ihnen zu unterhalten, damit sie um so eher durch gegenseitige Verständigung auf die richtigen Wege können zurückgeführt werden. — Es läge darin die Anmassung eines Ansehens, welches unsere Kirche niemanden zugesteht.*" *L.*

*8) *πείθοντα*. Eximium exemplum praebet utraque *Chrysostomi* Paraenesis ad Theodorum lapsum, praesertim prioris caput XI.

9) *ὅποι καὶ χρησώμεθα*. Vid. *Hermann.* ad Eurip. Herc. fur. v. 1236. *L.*

τοὺς ἀνάγκῃ τῆς κακίας, ἀλλὰ τοὺς προαιρέσει ταύτης ἀπε-
106 χομένους στεφανοῦντος τοῦ Θεοῦ.[10]) Διὰ τοῦτο πολλῆς χρεία τῆς μηχανῆς, ἵνα πεισθῶσιν[11]) ἑκόντες ἑαυτοὺς ὑπέχειν ταῖς παρὰ τῶν ἱερέων θεραπείαις οἱ κάμνοντες· καὶ οὐ τοῦτο μό-
107 νον, ἀλλ' ἵνα καὶ χάριν εἰδῶσι τῆς ἰατρείας αὐτοῖς. Ἄν τε γάρ τις σκιρτήσῃ δεθεὶς[12]) (κύριος γάρ ἐστι τούτου,)[13]) χεῖρον εἰργάσατο τὸ δεινόν· ἄν τε τοὺς σιδήρου τέμνοντας δίκην παραπέμψηται λόγους,[14]) προσέθηκε διὰ τῆς καταφρονήσεως τραῦμα ἕτερον, καὶ γέγονεν ἡ τῆς θεραπείας πρόφασις νόσου χαλεπωτέρας ὑπόθεσις. Ὁ γὰρ καταναγκάζων καὶ ἄκοντα θεραπεῦσαι δυνάμενος οὐκ ἔστι.

108 IV. Τί οὖν ἄν τις ποιήσειε; καὶ γὰρ ἐὰν πραότερον[1]) προσενεχθῇς τῷ πολλῆς ἀποτομίας δεομένῳ, καὶ μὴ δῷς βα-

---

10) τοῦ Θεοῦ. Isidorus Pelusiota; *Non vi et tyrannide, sed* (πειθοῖ καὶ προσηνείᾳ) *suadela et indulgentia, hominum salus paratur. quo circa suae cujusque salutis* (τὸ κῦρος) *arbitrium penes quemque est, ut et ii qui coronantur et ii qui puniuntur e jure accipiant, quod elegerint.* [Cramerus T. I. p. 49. ita ad h. l. scribit: „*Diese schöne Stelle veranlasst mich, eine ähnliche aus dem 3. Brief des heiligen Hieronymus an den Heliodorus beizufügen. Ein König, sagt er, befiehlt solchen Personen, die ihm gehorchen müssen, sie mögen wollen oder nicht; ein Bischof herrscht nur über diejenigen, die ihm gehorchen wollen. Ein Fürst bringt die Rebellen durch das Schrecken zum Gehorsam; ein Bischof ist verbunden, sogar denen zu dienen, die unter seiner Aufsicht sind. Denn jener sorgt für die Erhaltung des Leibes derjenigen, die einmal sterben müssen, dieser sorgt für die Seelen, um ihnen das ewige Leben zu geben. Alle Gläubigen haben ihre Augen auf ihren Bischof, auf sein Haus, auf seine Aufführung gerichtet; er muss der ganzen Kirche zum Beispiele dienen, und es ist niemand, der nicht berechtigt zu seyn glaubt, das zu thun, was er thut.*“ L.]

11) πεισθῶσιν. Quidam Mss. πείσωσιν. *Montef.* Sic quoque Hoescheliani; sermone *reciproco* aptissime exprimente naturam libentiae et obedientiae. Conf. not. ad §. 216.

12) ἄν τε γάρ τις. Haec est *Montefalconii* lectio, quam secutus est *Bengel.* — *Ducaeus* legit: ἄν τε γάρ τις σκιρτήσῃ δεθεὶς, κύριος δέ ἐστι τούτου. *Savilius* contra in libris invenit: ἄν τε γάρ ποτε σκιρτήσῃ δεθεὶς, κύριος γάρ ἐστι τούτου. *L.*

13) κύριος — τούτου. Gravissima clausula. nemo enim ita coerceri potest, ut velle cogatur; et in perdito homine corrigendo hoc extremum est, ut edicas: Homines non possunt te cogere, Deus te non cogit. tua in potestate voluntas, in voluntate potestas est.

14) λόγους. *Si monentis verba, ferri more secantia, respuerit, contemtu suo aliud sibi vulnus injicit.* Ejusmodi verba ferri more secantia pronuntiasse v. c. perhibetur Ambrosius teste Theodoreto H. E. c. 18. Cf. *J. Ritter.* l. l. pag. 251. *L.*

1) πραότερον. Ἐὰν πραότερον, Vetus interpres, *Si mitius aliquid adhibueris, ei, qui multa eget sectione, nec manum, ut di-*

θεῖαν τὴν τομὴν [2]) τῷ τοιαύτης χρείαν ἔχοντι· τὸ μὲν περιέκοψας, τὸ δὲ ἀφῆκας τοῦ τραύματος. κἂν ἀφειδῶς [3]) τὴν 109
ὀφειλομένην ἐπαγάγῃς τομὴν, πολλάκις ἀπογνοὺς πρὸς τὰς ἀλγηδόνας ἐκεῖνος, ἀθρόως πάντα ἀποῤῥίψας, [4]) καὶ τὸ φάρμακον καὶ τὸν ἐπίδεσμον, φέρων ἑαυτὸν κατεκρήμνισε, [5]) συντρίψας τὸν ζυγὸν καὶ διαῤῥήξας τὸν δεσμόν. καὶ πολλοὺς ἂν ἔχοιμι λέγειν, τοὺς εἰς ἔσχατα ἐξοκείλαντας κακὰ, διὰ τὸ δίκην ἀπαιτηθῆναι τῶν ἁμαρτημάτων ἀξίαν. [6]) Οὐ γὰρ ἁπλῶς [7]) πρὸς τὸ τῶν παραπτωμάτων μέ- 110
τρον δεῖ καὶ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως· μή ποτε ῥάψαι τὸ διεῤῥωγὸς βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσῃς, καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων, μείζονα ἐργάσῃ τὴν πτῶσιν. Οἱ 111
γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι, [8]) καὶ τὸ πλέον τῇ τοῦ κό-

---

citur, presseris, cum sic illius poscat infirmitas. quod notamus, ut observetur adagium. Quod ad rem attinet, quid fiet, ubi pro cultro volsellae, aut flabellum, aut pallium denique adhibetur? *Curant contritionem populi mei, secundum curationem mali leviculi, dicendo: Pax, pax!* Jer. VI. 14. interprete Junio et Tremellio, cum hac annotatione: *ut curantur afflatu vel palpatione leniculi puerorum casus; cum tamen gravissima sint mortifera mala populi.* Hujusmodi sunt, qui a veritate amaritudinem omnem secernere se posse putant, et argumenta docentia conciliantibus nimium diluunt: qua arte non usus est Johannes Baptista.

2) *τομήν.* Alii cum *Ducaeo*: *τὴν πληγήν. L.*

3) *ἀφειδῶς.* Quid fiet, ubi per zeli speciem iracundia accedit? §. 251 ss.

4) *ἀθρόως — ἀποῤῥίψας.* **Montefalconius** legit: *ἀθρόως ἅπαντα ῥίψας. L.*

5) *φέρων ἑαυτὸν κατεκρήμνισε.* *Elegans pleonasmus, ut in illo Greg. Naz.* ὅς γε πενιχροῖς Ζώει, καὶ χριστῷ πάντ' ἀνέθηκε φέρων. *in illo item Luciani*, εἰς οἷον βάραθρον φέρων ἑαυτὸν ἐνσέσεικα. **Hoeschelius.** Similis pleonasmus. φέροντες ἐνεθήκαμεν. §. 41. et πρηνεῖς φερομένους. §. 607. inprimisque eo delectatus est *Gregorius Thaumaturgus*, ut notavimus ad ejus Paneg. sect. 18. [Loca, quae attulit **Bengelius**, huc non quadrant. Vid. **Passow** in Lex. s. v. φέρω ad finem. coll. **Matthiae** Gr. gr. §. 558. *L.*]

6) *ἀξίαν.* *Equidem multos recensere possem in extrema mala deductos, quod ab eis poena peccatis par exposceretur. L.*

7) *οὐ γὰρ ἁπλῶς.* Totum hunc locum Cynosura SS. Synodi Russicae in Regulis ministrorum ecclesiae exhibere dignata est. Vid. *Geistliches Reglement auf Befehl Petri I. Kaisers von gantz Russland und mit Bewilligung des H. dirigirenden Synodi publicirt,* p. 85 s. ed. 1724.

8) *διακεχυμένοι.* **remissi.** vid. Herodot. 8, 67. — *τρυφή* de quibusvis *deliciis* dicitur. Vid. Xenoph. Hier. I, 23. Memorr. I, 6, 10. quibus in locis dicitur haec vox de cibis lautioribus. Cf. De Rep. Athen. I, 11. ἐῶσι τοὺς δούλους τρυφᾷν (imprimis vestitu) καὶ μεγαλοπρεπῶς διαιτᾶσθαι. *L.*

σμου προσδεδεμένοι τρυφῇ, ἔτι δὲ καὶ ἐπὶ γένει καὶ δυναστείᾳ
μέγα φρονεῖν ἔχοντες, [9]) ἠρέμα μὲν καὶ κατὰ μικρὸν, ἐν οἷς
ἂν ἁμαρτάνωσιν, ἐπιστρεφόμενοι, δύναιντ' ἂν, εἰ καὶ μὴ τέ-
λεον, ἀλλὰ γοῦν [10]) ἐκ μέρους τῶν κατεχόντων αὐτοὺς ἀπαλ-
λαγῆναι κακῶν· ἂν δὲ ἀθρόον [11]) τὶς ἐπαγάγῃ τὴν παίδευσιν,
112 καὶ τῆς ἐλάττονος αὐτοὺς ἀπεστέρησε διορθώσεως. Ψυχὴ
γὰρ ἐπειδὰν ἅπαξ ἀπερυθριᾶσαι [12]) βιασθῇ, εἰς ἀναλγησίαν ἐκ-
πίπτει, καὶ οὔτε προσηνέσιν εἴκει λήγοις λοιπὸν, οὔτε ἀπειλαῖς
κάμπτεται, οὔτε εὐεργεσίαις προτρέπεται, ἀλλὰ γίνεται πολὺ
χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ προφήτης κακίζων ἔλεγεν·
Ὄψις πόρνης [13]) ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάν-

---

9) *φρονεῖν ἔχοντες.* Ἔχω cum infinitivo. §. 475.

10) *ἀλλὰ γοῦν.* Rarissima particula. Alias dicitur ἀλλ' οὖν (quod etiam *Hoeschelius* hoc loco in mss. a se collatis reperit) et ἀλλά γε et ἀλλοῦν γε. vide *Devarium.* [Rarissimam hanc particulam non vocaverim. Vid. Eurip. Iphig. Aulid. v. 908. ἀλλ' ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις. Cf. *Viger.* p. 471. et *Schaeferus* ad *Dionys.* περὶ συνθ. ὀνομάτων. p. 271 sq. *L.*]

11) *ἀθρόον.* *Philo in vita Mos. l.* 1. σηπομένων ἀθρόον σωμάτων. *Thucyd.* ἀθρόον ἐμβοήσαντες. *Chrysost. or.* 3. *contra Judaeos,* ἀθρόον τῶν ἄλλων μενουσῶν, *et alibi saepius. Thirlby.* [Putat igitur *Thirlby* et cum eo *Bengelius,* positum esse ἀθρόον h. l. adverbialiter, quod sane saepius fieri ostendit *Passow* in Lex. h. v. Lectio ἀθρόαν, quam habet editio Montefalconiana, sane ex glossemate orta videtur. Quid vero impedit, ut ἀθρόον habeamus pro adjectivo et ad παίδευσιν referamus, quum ἀθρόος etiam duarum esse terminationum adjectivum constet. Quid vero sit h. l. ἀθρόον colligi potest ex verbis antecedentibus ἠρέμα καὶ κατὰ μικρόν. Est nimirum παίδευσις ἀθρόος disciplina, qua et *repente* et *sine intermissione* in peccatorem animadvertitur. Severitatis notio, quam tribuit *Ritterus* in versione vernacula voc. ἀθρόος, proprie non inest. Vid. *Sturz.* Lex. Xenoph. T. I, p. 71. — Pro τὴν παίδευσιν legit *Montefalconius,* qui *Ducaeum* sequitur: τὴν παιδείαν. *L.*]

12) *ἀπερυθριᾶσαι.* *Μέγιστον εἰς πειθὼ φάρμακον ἡ αἰδώς. Isidorus Pelus.* Ep. 145. lib. 4. [*Cramerus* hunc locum ita vertit: „*Denn wenn die Seele auf einmal zur Schamröthe gezwungen wird, so verfällt sie in Unempfindlichkeit.*“ At ἀπερυθριάζειν non est *pudere,* sed *pudere desinere, nicht mehr schamroth werden.* Vid. Athenag. Deprec. P. C. XXX, 1. τὸ δεύτερον εἰ ἑωράκασιν, ἃ λέγουσιν, οὐδεὶς οὕτως ἀπερυθριασμένος (*tam impudens*], ὡς εἰπεῖν ἰδεῖν. Sensus nostri loci igitur hic est: *Quando anima confestim eo agitur, ut eam non amplius pudeat, labitur in indolentiam.* — *ἀνάλγησις* est *indolentia,* *Gefühllosigkeit.* Nam ἀναλγής s. ἀνάλγητος est is, qui nullos dolores sentit et nulla cura angitur. Vid. Soph. Trach. v. 126. Aj. 946. ubi Scholiastes ἀναλγήτων explicuit per ἀσυμπαθῶν, μηδόλως ἀλγούντων. *L.*]

13) *ὄψις πόρνης.* Jer. 3, 3.

τας.[14]) Διὰ τοῦτο πολλῆς δεῖ τῆς συνέσεως τῷ ποιμένι[15]) 113
καὶ μυρίων ὀφθαλμῶν, πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς
ψυχῆς ἕξιν. Ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοὶ καὶ εἰς 114
ἀπόγνωσιν[16]) τῆς ἑαυτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ
μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων· οὕτως εἰσί τινες,
οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίῤῥοπον,[17])
εἰς ὀλιγωρίαν ἐκτρέπονται,[18]) καὶ πολλῷ γίνονται χείρους, καὶ
πρὸς τὸ μείζονα ἁμαρτάνειν προάγονται. Χρὴ τοίνυν μηδὲν 115
τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκρι-
βῶς καταλλήλως[19]) τὰ παρ' ἑαυτοῦ προσάγειν τὸν ἱερωμέ-
νον, ἵνα μὴ μάταιος αὐτῷ γίγνηται ἡ σπουδή. Οὐκ ἐν τού- 116

---

14) ἀπηναισχύντησας πρὸς πάντας. *valde impudenter egisti adversus omnes.* Explicant haec verba vocabula antecedentia: ὄψις πόρνης ἐγένετο. Vid. **Schleusner.** in Lex. in LXX. Intpp. s. v. ἀναναισχυντέω. Cf. Heliodor. VIII, p. 370. λανθάνειν μὲν οἰόμενοι καὶ ἐρυθριῶσιν, ἁλισκόμενοι δὲ ἀπαναισχυντοῦσιν. Pluribus egit de verbo ἀπαναισχυντέω. **Bergler.** ad Alciphr. libr. I, Ep. 33. p. 136. *L.*

15) ποιμένι. *Multa alia ex omnibus sanctis auctoribus in hanc sententiam* (de administratione animarum) *conferri possent: quia nihil est ab illis vel tam graviter tractatum, vel tam severe inculcatum.* Hier. Platus de Bono status relig. pag. 221. ed. Ingolst.

16) εἰς ἀπόνοιαν αἴρονται καὶ εἰς ἀπόγνωσιν καταπίπτουσι. Nomina ἀπόνοια et ἀπόγνωσις non sunt synonyma, sed opposita, perinde ut verba αἴρεσθαι et καταπίπτειν. Itaque exquisite notatur hic varietas impatientiae in iis, qui corripiuntur. Ἀπόνοιαν interpretamur *amentiam.* significatur enim Graeco verbo *temeraria elati animi insania, sive confidentiam habens sive desperationem conjunctam.* §. 145. 164. 260. tantundemque valet Latinum *amens* et *amentia.* Vid. *Epp. Cic.* cum indice ed. Stutg. [De notione voc. ἀπόνοια apud Chrysostomum cf. T. VII, p. 186. B. C. D. E. p. 328. D. p. 589. A. p. 627. B. T. VIII, p. 261. A. et **Matthaei,** Joh. Chrysostomi Homiliae IV. T. II, pag. 48 sq. *L.*]

17) τιμωρία τῶν ἁμαρτημάτων ἀντίῤῥοπος est *poena peccatis conveniens.* Proprie nempe dicitur ἀντίῤῥοπος de parilitate lancium in libra. Hesychius: ἀντίῤῥοπον· ἴσον, ἰσόσταθμον, ἰσόζυγον. Vid. **D'Orville** ad Chariton. pag. 713. *L.*

18) ἐκτρέπονται. *In negligentiam transversi aguntur.* Cf. Provv. III, 11. Ep. ad Hebr. XII, 5, Aelian. VV. HH. II, 27. Hesychius: ὀλιγωρεῖ· ῥαθυμεῖ, ἀμελεῖ. Idem: πολυωρεῖ, πολλὴν φροντίδα ποιεῖται. Vid. **Alberti.** not. ad Gloss. Graec. in N. T. p. 183. *L.*

19) καταλλήλως. Isidorus: *Τοσούτων ὄντων καὶ τῶν ἀῤῥωστημάτων καὶ τῶν βοηθημάτων, καὶ πάντων μὴ τοῖς αὐτοῖς εἰκόντων, ἀλλὰ καὶ τοὐναντίον εἰς χείρονα πλημμελήματα ἐρεθιζομένων· τίς μὴ τῷ Θείῳ πνεύματι τὴν ψυχὴν φωτισθεὶς εἰδέναι ἢ ἐπαρκέσαι δυνήσεται;* — Plena salis capitula sunt *Marci* in lib. περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι, quibus de prudentia corrigendi, vel aliis vel certe nobis salutari agit.

τῳ δὲ μόνον, ἀλλὰ καὶ ἐν τῷ τὰ ἀπεῤῥηγμένα τῆς ἐκκλησίας μέλη συνάπτειν, πολλὰ ἴδοι τις ἂν αὐτὸν ἔχοντα πράγματα.
117 Ὁ μὲν γὰρ τῶν προβάτων ποιμὴν ἔχει τὸ ποίμνιον ἑπόμενον, ᾗπερ ἂν ἡγῆται· εἰ δὲ καὶ ἐκτρέποιτό τινα τῆς εὐθείας ὁδοῦ, καὶ τὴν ἀγαθὴν ἀφιέντα νομὴν, λεπτόγεα καὶ ἀπόκρημνα βόσκοιτο χωρία, ἀρκεῖ βοήσαντα σφοδρότερον συνελάσαι πάλιν,
118 καὶ εἰς τὴν ποίμνην ἐπαναγαγεῖν τὸ χωρισθέν· εἰ δὲ ἄνθρωπος [20]) τῆς εὐθείας ἀποπλανηθείη πίστεως, πολλῆς δεῖ τῷ ποιμένι τῆς πραγματείας, [21]) τῆς καρτερίας, τῆς ὑπομονῆς. Οὐ γὰρ ἑλκῦσαι [22]) πρὸς βίαν ἐστὶν, οὐδὲ ἀναγκάσαι φόβῳ· [23])

---

20) *ἄνθρωπος.* Vehementer placuit hic locus *Commentarior. liter. Londin.* Scriptori. Chrysostomus *complures*, inquit, *judicii plenas ponit solidasque observationes, de ratione revocandi peccantes: unde apparet magnam in eo fuisse naturae humanae cognitionem. Persecutionis osor erat excellens pater; ut ex his patet verbis. Semper obstitere patres persecutioni, quum scriberent* (in cold blood) *citra fervorem.* Addit locum Augustini. *Illi in vos* (Manichaeos) *saeviant, qui nesciant, cum quo labore verum inveniatur, — postremo illi in vos saeviant, qui nullo tali errore decepti sunt, quali vos deceptos vident.* Pari modo *Jac. Ceratinus* in argumento Dialogi II, docere Chrysostomum, scribit, opus esse episcopo *summa patientia et moderatione in revocandis docendisque iis, qui erroribus seducti ab ecclesiae corpore recesserunt.* Adde *Gerhard.* L. de Magistratu, §. 338. ubi etiam Chrysostomum producit. Patet hinc, quo jure *Index Hispanicus expurgatorius* ex Indice in Chrysostomum nostrum per Frobenium excuso damnet hoc lemma: *Haereticos Christus vetat occidi.* etc. Videatur inprimis *Seb. Castellionis* Annotatio ad 2. Cor. X. 4.

21) *πραγματείας.* *Magna cura opus est.* Cf. Philo. p. 240. B. ἀπόνως καὶ χωρὶς πραγματείας, i. e. *sine negotio.* Cinnam. p. 7. φυγῇ τὴν σωτηρίαν πραγματεύεσθαι, *fuga saluti consulere.* Cf. *Matthaei* l. l. T. II, pag. 20. *L.*

22) *οὐ γὰρ ἑλκῦσαι.* Saluberrimum sane praeceptum, simile illi, quod scribit Paulus suo Timotheo, qui eum jubet ἐν πραότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους. Et maxime tunc temporis jam opus erat tali admonitione. cf. Sozomenus H. E. VI, 6. 12. Theodoret. H. E. V, 16. et quae monuit *Ritterus* l. l. p. 236. *L.*

23) *οὐ γὰρ — φόβῳ.* Vetus interpres: *quia non potest errantem ad caulam sue reducere.* sic enim ἄδηλος illa habet editio, cui potius credimus, quam ceteris, *suam*, pro *sue*, omisso πρὸς βίαν et φόβῳ, praeferentibus. Videtur autem *sue* idem esse, quod σύδην, a σύω. Expendatur contextus. — Exquisitum antitheton, ἀναγκάσαι et πείθειν. quale illud Platonis: ποιητέον ἃ ἂν κελεύοι ἡ πόλις τε. καὶ ἡ πατρίς· ἢ πείθειν αὐτὴν, ᾗ τὸ δίκαιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον. quod Tullius lib. 1. Famil. Ep. 9. ita expressit: *Id jubet Plato, tantum contendere in rep. quantum probare tuis civibus possis; vim neque parenti nec patriae afferre oportere.* Metum sibi ipsi admovere pastor potest; conf. 2. Cor. 5, 11. alteri non potest. metu alterum corrigere potest, quomodo S. Judas scribit, οὓς δὲ ἐν φόβῳ σώζετε· *metu cogere*, non potest; quid dicam,

πείσαντα δὲ δεῖ πάλιν πρὸς τὴν ἀλήθειαν ἀγαγεῖν, ὅθεν ἐξέ-
πεσε τὴν ἀρχήν. Γενναίας οὖν δεῖ ψυχῆς, ἵνα μὴ περικακῇ, 119
ἵνα μὴ ἀπογινώσκῃ τὴν τῶν πεπλανημένων σωτηρίαν, ἵνα συν-
εχῶς ἐκεῖνο καὶ λογίζηται καὶ λέγῃ· [24]) μήποτε δῷ αὐτοῖς ὁ
Θεὸς ἐπίγνωσιν [25]) ἀληθείας, καὶ ἀπαλλαγῶσι [26]) τῆς τοῦ δια-
βόλου παγίδος. [27]) Διὰ ταῦτα τοῖς μαθηταῖς ὁ κύριος διαλε- 120
γόμενος ἔφη· Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; [28]) Ὁ
μὲν γὰρ ἑαυτὸν ἀσκῶν, [29]) εἰς ἑαυτὸν μόνον περιίστησι τὴν
ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντικῆς κέρδος, εἰς ἅπαντα διαβαί-
νει τὸν λαόν. καὶ ὁ μὲν χρήματα διανέμων τοῖς δεομένοις, ἢ
καὶ ἑτέρως πως ἀδικουμένοις ἀμύνων, ὤνησε μέν τι καὶ οὗτος
τοὺς πλησίον, τοσούτῳ δὲ ἔλαττον τοῦ ἱερέως, ὅσον τὸ μέ-
σον σώματος πρὸς ψυχήν. [30]) Εἰκότως ἄρα τῆς εἰς αὐτὸν 121
ἀγάπης τὴν περὶ τὰ ποίμνια σπουδὴν ὁ κύριος ἔφησεν εἶναι
σημεῖον.

Σὺ δὲ, φησίν, οὐ φιλεῖς τὸν Χριστόν; ΙΩ. Καὶ φιλῶ καὶ 122
φιλῶν οὐ παύσομαί ποτε· δέδοικα [31]) δὲ, μὴ παροξύνω τὸν

---

ni trahere? Coetui religioso Roma hoc debet, ut sit Roma. Quem qui defendunt, nesciunt, quae sit hominis natura, quae indoles Filiorum DEI.

24) *λέγῃ.* Optimus nervus patientiae pastoralis.

25) *ἐπίγνωσιν.* Sic ed. prima et vetus int. *μετάνοιαν εἰς ἐπίγνωσιν* supplent rursum ceteri ex Paulo; ut mox, *ἀνανήψωσιν ἐκ τῆς*, pro eo, quod nos ex Codd. Hoeschelianis reposuimus.

26) *ἀπαλλαγῶσι.* Melior esse videtur lectio *νήφωσι*, quo verbo usus est Paulus in loco a Chrysostomo citato. Sapit nimirum *ἀπαλλαγῶσι* glossema, quum sane *νήφειν*, quod nimirum est *ad sobrietatem redire, se colligere*, verbum sit paulo inusitatius. *L.*

27) *παγίδος.* 2. Timoth. II, 25. 26. *L.*

28) *φρόνιμος.* Matth. XXIV, 45. *L.*

29) *ἑαυτὸν ἀσκῶν.* *Savil. et aliquot Mss.* *ἑαυτῷ ἀσκῶν.* *Morel. et alii*, *ἑαυτὸν ἀσκῶν.* *Nonnulli*, *ἐν ἑαυτῷ ἀσκῶν.* *Montef.* Sic vet. int. *in se solo.* Placet media lectio, *ἑαυτῷ.* Dativus elegans et valde significans. [Lectionem *ἑαυτῷ* secutus est etiam *Cramerus*, qui vertit: *Denn wer sich für seine Person nur im Christenthume übt, der schränkt den Nutzen davon auch nur auf seine Person ein. L.*]

30) *ὅσον τὸ μέσον σώματος πρὸς ψυχήν*, *quantum interest inter corpus et animam. Ita* Noster *Hom.* 1. *in Matth.* *ὅσον οὐρανοῦ πρὸς γῆν τὸ μέσον.* *Codices vero* Augustanus, Palatinus, Henr. II. *hic legunt καὶ ψυχῆς, qui sane loquendi modus Chrysostomo usitatior.* Thirlby.

31) *δέδοικα.* Hoc loco et passim in Dialogo adumbratam videas illam sapientiam, quam Chrysostomus in sermonibus Domini expressam agnovit. *Πανταχοῦ οὐκ ἐκ τοῦ προχείρου πάντα ἀποκαλύπτει. ἀλλὰ πρῶτον εἰς ἀπορίαν ἐμβάλλει τὸν ἀκροατήν· ἵνα ἀρ-*

123 φιλούμενον ὑπ' ἐμοῦ. Καὶ τί τούτου γένοιτ' ἂν αἴνιγμα, φη-
σὶν, ἀσαφέστερον; εἰ ὁ μὲν Χριστὸς τὸν φιλοῦντα αὐτὸν ποι-
μαίνειν προσέταξεν αὐτοῦ τὰ πρόβατα, σὺ δὲ διὰ τοῦτο φῂς
124 οὐ ποιμαίνειν, ἐπειδὴ τὸν τοῦτο προστάξαντα φιλεῖς. Οὐκ
ἔστιν αἴνιγμα, ἔφην, ὁ λόγος, ἀλλὰ καὶ λίαν σαφὴς καὶ ἁπλοῦς.
Εἰ μὲν γὰρ ἱκανῶς ἔχων διοικῆσαι τὴν ἀρχὴν ταύτην, καθὼς
ὁ Χριστὸς ἤθελεν, εἶτα ἀπέφυγον, ἔδει πρὸς τὸ παρ' ἐμοῦ
λεγόμενον ἀπορεῖν· ἐπειδὴ δὲ ἄχρηστόν με πρὸς τὴν διακονίαν
ταύτην ἡ τῆς ψυχῆς ἀσθένεια καθίστησι, ποῦ ζητήσεως ἄξιον
125 τὸ λεγόμενον; Καὶ γὰρ δέδοικα, μὴ τὴν ἀγέλην τοῦ Χριστοῦ
σφριγῶσαν [32]) καὶ εὐτραφῆ παραλαβὼν, εἶτα ὑπὸ τῆς ἀπει-
ρίας [33]) λυμηνάμενος, παροξύνω κατ' ἐμαυτοῦ τὸν οὕτως αὐ-
τὴν ἀγαπήσαντα Θεὸν, ὡς ἑαυτὸν ἐκδοῦναι διὰ τὴν ταύτης
126 σωτηρίαν τε καὶ τιμήν. Παίζων λέγεις ταῦτα, φησίν· εἰ γὰρ
σπουδάζων, [34]) οὐκ οἶδα πῶς ἂν ἑτέρως μᾶλλον ἡμᾶς ἀπέδει-
ξας δικαίως ἀλγοῦντας, ἢ διὰ τῶν ῥημάτων τούτων, δι' ὧν
ἀποκρούσασθαι τὴν ἀθυμίαν ἐσπούδασας. Ἐγὼ γὰρ καὶ πρό-
τερον, εἰδὼς, ὅτι με ἠπάτησας καὶ προὔδωκας, νῦν δὲ πολλῷ
πλέον, ὅτε καὶ τὰ ἐγκλήματα ἀποδύσασθαι [35]) ἐπεχείρησας,

ξάμενος ζητεῖν, τί τὸ λεγόμενον, εἶτα ἀπορῶν καὶ κάμνων, μετὰ πλείονος ὑποδέξηται προθυμίας φανὲν τὸ ζητούμενον, καὶ μᾶλλον διαναστῇ πρὸς τὴν ἀκρόασιν. Homil. in Job. IV, 32.

32) *σφριγῶσαν.* Vim h. v. egregie illustravit *Ruhnkenius* ad Timaei Lexicon Platonicum. *σφριγᾶν* proprie de arboribus plantisque laete virentibus dicitur. Deinde transfertur h. v. ad homines, qui sunt corpore vegeto, florente, robusto. Vide, quae de hoc verbo egregie, ut solebat, monuit *Orellius* ad Nicolaum Damascen. pag. 210 sq. Locorum farraginem collegit *Matthaei.* l. l. T. II. pag. 4 sqq. *L.*

33) *ὑπὸ τῆς ἀπειρίας.* Al. *αὐτὴν ἐξ ἀπροσεξίας.* sed *ἀπειρίας* defendit conclusio, §. 162. [Statim post legitur verbum *λυμαίνεσθαι*, cui Chrysostomus adjunxit quartum casum; quae constructio ne Atticis quidem scriptoribus est infrequens. Quamvis enim Schol. Aristoph. ad Nub. v. 925. diserte dicat, Attice conjungi hoc verbum cum Dativo; tamen apud Xenophontem semper adsciscit quartum casum, quae constructio etiam apud alios scriptores reperitur. Vid. *Wetsten.* ad Act. VIII, 3. et Thom. M. p. 218. *L.*]

34) *εἰ γὰρ σπουδάζων.* Subaudi, *ἔλεγες.* opposita: *Παίζων, σπουδάζων.* Ideo nonnulli, *εἰ γὰρ οὐ παίζων.* Apud Tullium, Epist. 18. Fam. lib. XV. opposita sunt *ridere* et *σπουδάζειν.* Infra, *παίζων, οὐκ ἀληθεύων.* §. 139.

35) *τὰ ἐγκλήματα ἀποδύσασθαι.* *Ita Plat. de Rep. l. 10.* *τὰ ἄλλα ἀπεδυσάμεθα ἐν τῷ λόγῳ. Plutarch. Coriolan. ἀποδυόμενοι τὰς διαβολάς.* *Thirlby.* [Sic dixit Euseb. H. E. VI, 41. *ἀποδυσάμενος δὲ ταύτην κατ' αὐτοῦ διαβολήν.* Cf. de reliquis h. v. significationibus *Matthaei* l. l. T. I, pag. 9. *L.*]

τοῦτο μανθάνω καὶ συνίημι καλῶς, οἷ τῶν κακῶν με ἤγαγες.
Εἰ γὰρ διὰ τοῦτο σαυτὸν ὑπεξήγαγες τῆς τοιαύτης λειτουρ- 127
γίας,[36] συνειδὼς οὐκ ἀρκοῦσάν σου τὴν ψυχὴν πρὸς τὸν τοῦ
πράγματος ὄγκον, ἐμὲ πρότερον ἐξελέσθαι ἐχρῆν, καὶ εἰ πολ-
λὴν πρὸς τοῦτο ἔχων τὴν ἐπιθυμίαν ἐτύγχανον, μὴ ὅτι καὶ
πᾶσαν τὴν ὑπὲρ τούτων ἐπέτρεψά σοι βουλήν. Νῦν δὲ τὸ 128
σαυτοῦ μόνον ἰδὼν, τὸ ἡμέτερον παρεῖδες· εἴθε μὲν οὖν παρ-
εἶδες, καὶ ἀγαπητὸν ἂν ἦν· σὺ δὲ καὶ, ὅπως εὐχείρωτοι γε-
νώμεθα[37] τοῖς βουλομένοις λαβεῖν, ἐπεβούλευσας. Οὐδὲ γὰρ 129
εἰς ἐκεῖνο καταφυγεῖν ἔχοις ἄν, ὅτι ἡ τῶν πολλῶν δόξα ἠπά-
τησέ σε, καὶ μεγάλα τινὰ καὶ θαυμαστὰ περὶ ἡμῶν ὑποπτεύειν
ἔπεισεν· οὔτε γὰρ τῶν θαυμαζομένων καὶ ἐπισήμων ἡμεῖς,
οὔτε, εἰ καὶ τοῦτο οὕτως ἔχον ἐτύγχανε, τὴν τῶν πολλῶν δό-
ξαν τῆς ἀληθείας προτιμῆσαι ἐχρῆν. Εἰ μὲν γὰρ μηδέποτέ σοι 130
πεῖραν τῆς ἡμετέρας ἔδομεν συνουσίας, ἐδόκει τις εἶναί σοι πρό-
φασις εὔλογος ἀπὸ τῆς τῶν πολλῶν φήμης φέροντι τὴν ψῆ-
φον· εἰ δὲ οὐδεὶς οὕτω τὰ ἡμέτερα οἶδεν, ἀλλὰ καὶ τῶν γε-
γεννηκότων καὶ θρεψαμένων αὐτῶν τὴν ἡμετέραν μᾶλλον ἐπί-
στασαι ψυχὴν, τίς οὕτως ἔσταί σοι[38] λόγος πιθανὸς, ὡς
δυνηθῆναι πεῖσαι τοὺς ἀκούοντας, ὅτι οὐχ ἑκὼν ἡμᾶς εἰς τοῦ-
τον ὦσας τὸν κίνδυνον. Ἀλλὰ γὰρ ταῦτα ἀφείσθω νῦν· οὐδὲ 131
γὰρ ὑπὲρ τούτων σε ἀναγκάζομεν κρίνεσθαι. τί πρὸς τοὺς
ἐγκαλοῦντας ἀπολογησόμεθα, λέγε. Ἀλλ' οὐδὲ αὐτὸς πρότε- 132
ρον, ἔφην, ἐπ' ἐκεῖνα πορεύσομαι, ἕως ἂν διαλύσωμαι τὰ
πρὸς σὲ, κἂν μυριάκις αὐτὸς ἡμᾶς τῶν ἐγκλημάτων ἐθέλῃς
ἀπολύειν. Σὺ μὲν γάρ ἔφης, τὴν ἄγνοιαν ἡμῖν φέρειν συγ- 133
γνώμην καὶ πάσης ἂν ἡμᾶς ἀφεῖναι κατηγορίας, εἰ μηδὲν τῶν
σῶν εἰδότες εἶτά σε εἰς τὰ παρόντα ἠγάγομεν· ἐπειδὴ δὲ οὐκ
ἀγνοοῦντας προδοῦναι,[39] ἀλλ' ἀκριβῶς ἐπισταμένους τὰ σὰ,
διὰ τοῦτο πᾶσαν ἡμῖν πρόφασιν εὔλογον καὶ ἀπολογίαν ἀνῃ-

---

36) *λειτουργία* est h. l. *ministerium*. Vid. de potestate h. v., quae docte, ut solet, monuit amicissimus *Heinichen* ad Euseb. H. E. X, 7. n. 4. T. III, pag. 268. — Ante συνειδώς inserendum puto ὅτι, praceunte *Hasselbachio*. L.

37) *εὐχείρωτοι γενώμεθα*, *ut facilius possemus comprehendi. L.*

38) *ἔσταί σοι.* Sic recte *Erasmus*. Nam paroxytonon trochaicum (αι autem censetur brevis) encliticae monosyllabae tonum ad se trahit. [Vid. *Fischer. ad Weller.* T. I, p. 71. *L.*]

39) *οὐκ ἀγνοοῦντας προδοῦναι.* Repete ἔφης.

134 ρῆσθαι δικαίαν. Ἐγὼ δὲ πᾶν τοὐναντίον φημί. διὰ τί; ὅτι
τὰ τοιαῦτα πολλῆς δεῖται τῆς ἐξετάσεως, καὶ τὸν μέλλοντα
παραδώσειν τὸν εἰς ἱερωσύνην ἐπιτήδειον, οὐ δεῖ τῇ τῶν πολ-
λῶν ἀρκεῖσθαι φήμῃ μόνον, ἀλλὰ μετ᾽ ἐκείνης καὶ αὐτὸν μά-
135 λιστα πάντων καὶ πρὸ πάντων ἐξητακέναι τὰ ἐκείνου. Καὶ
γὰρ ὁ μακάριος Παῦλος εἰπών, [40]) δεῖ δὲ αὐτὸν καὶ μαρτυ-
ρίαν ἔχειν καλὴν ἀπὸ τῶν ἔξωθεν, οὐκ ἀναιρεῖ τὴν ἀκριβῆ
καὶ βεβασανισμένην ἔρευναν, [41]) οὐδ᾽ ὡς προηγούμενον τεκμή-
ριον τοῦτο τίθησι τῆς τῶν τοιούτων δοκιμασίας. Καὶ γὰρ
πολλὰ πρότερον διαλεχθείς, ὕστερον τοῦτο προσέθηκε, [42]) δει-
κνύς, ὡς οὐκ ἂν αὐτῷ μόνον ἀρκεῖσθαι δεῖ πρὸς τὰς τοιαύτας
αἱρέσεις, ἀλλὰ μετὰ τῶν ἄλλων [43]) καὶ αὐτὸ παραλαμβάνειν

---

40) *εἰπών.* 1. Timoth. 3, 7. *οἱ ἔξωθεν*, apud Paulum quidem sunt omnes ii, qui nondum Christiani facti erant, Judaei atque gentiles, h. l. vero intelliguntur Laici, qui in eligendis episcopis tunc temporis sane etiam suffragia ferebant. Cf. *Ritter.* p. 238. Euseb. H. E. VI, 10. *L.*

41) *οὐκ ἀναιρεῖ — ἔρευναν.* *Er schliesst darum eine sorgfältige und strenge Untersuchung nicht aus.* Vid. de verbo *βασανίζειν* Intpp. ad Thom. Mag. *Sturz.* Lex. Xen. T. I. p. 523. et *Lobeck. ad Phrynich.* p. 476. *L.*

42) *ὕστερον τοῦτο προσέθηκε.* Ambrosius: *Concludens regulam et episcopalem formam, ad extremum intulit, dicens:* Oportet autem et illum testimonium bonum habere ab his qui foris sunt. *lib. de Dignit. sacerd.* c. 4. De ordine verborum Pauli in idea episcopi vid. quoque Not. ad §. 273.

43) *μετὰ τῶν ἄλλων.* *Quod diligenter examinatum olim ac provisum Cassianus ait, ne forte, qui ad dimicandum in stadium prodiret, ulla esset vitae infamia respersus; hoc ita fieri solitum ex Chrysostomo Homil. 21. ad Pop. Antioch. intelligimus, uti decertaturus per totum stadium a praecone circumduceretur, ac publice inquireretur, utrum esset quispiam, qui vellet in eum dicere. cujus moris similitudinem quandam et μίμησιν praefert illa in Ordine Romano, episcoporum inaugurandorum circumductio, ac ipsa de promovendis initiatis presbyteris solemnis apud nos inquisitio: quam et in Africa B. Cypriani temporibus observatam, ipsius epistolae certissimum testimonium praebent: juxta praeceptum* Pauli 1. Tim. 3, 7. 10. *P. Faber.* l. 3. Agon. c. 12. Addamus quae idem addit ex Ordine illo Romano, Coloniae impresso cum aliis vetustis auctoribus de Officiis divinis. Fol. 88. *Post collectam ascendit lector in ambonem, et elevata voce legit brevem in auribus populi sic continentem:* Cognoscat caritas vestra, quia ille et ille advocatur in tali officio vel in tali: si quis habet contra hos viros aliquam querelam, exeat confidenter propter DEUM et secundum DEUM, et dicat. *Quod si nullus contradictor extiterit, sequitur lectio et responsorium.* Fol. 93. *ubi Pontifex alloquitur populum pro presbytero ordinando, haec inter cetera profert:* Nec frustra a patribus reminiscimur institutum, ut de electione eorum, qui ad regimen altaris adhibendi sunt, con-

χρή. 44) Συμβαίνει γὰρ πολλάκις, τὴν τῶν πολλῶν ψεύδεσθαι
φήμην· τῆς δὲ ἀκριβοῦς ἐξετάσεως ἡγησαμένης, οὐδένα ἐκ ταύ-
της κίνδυνόν ἐστιν ὑποπτεῦσαι λοιπόν. Διὰ τοῦτο μετὰ τὰ 136
ἄλλα τὰ παρὰ τῶν ἔξωθεν αὐτὸ τίθησιν. 45) οὐ γὰρ ἁπλῶς
ἔφησε, δεῖ δὲ αὐτὸν μαρτυρίαν ἔχειν καλὴν, ἀλλὰ τὸ καὶ 46)
παρενέβαλε, δηλῶσαι βουλόμενος, ὅτι πρὸ τῆς τῶν ἔξωθεν φή-
μης πρὸς ἀκρίβειαν αὐτὸν διερευνήσασθαι 47) δεῖ. Ἐπεὶ οὖν 137
καὶ αὐτὸς ᾔδειν τὰ σὰ τῶν γεγεννηκότων μᾶλλον, ὡς καὶ αὐ-
τὸς ὡμολόγησας· διὰ τοῦτο δίκαιος ἂν εἴην πάσης ἀφεῖσθαι
αἰτίας. Δι' αὐτὸ μὲν οὖν τοῦτο, φησὶν, οὐκ ἀπέφυγες, 48) εἴ 138
τις σε γράφεσθαι 49) ἤθελεν. ἢ οὐ μέμνησαι καὶ παρ' ἡμῶν
ἀκούσας, καὶ πολλάκις, 50) καὶ διὰ τῶν ἔργων αὐτῶν διδα-
χθεὶς, τὸ τῆς ψυχῆς ἀγεννὲς 51) τῆς ἐμῆς; οὐ διὰ τοῦτο εἰς

---

sulatur populus, *etc*. Itaque quid de eorum actibus aut moribus noveritis, quid de meritis sentiatis, DEO teste consulimus, etc. et ideo electionem vestram debetis publica voce profiteri.

44) *χρή. λοιπόν.* Saepe Chrysostomus collocato post polysyllabon brevi verbo, *ἐγὼ, σὺ, ἂν, ποτὲ, φημὶ*, aut quae sunt ejusmodi, comma, colon, periodum claudit.

45) *τὰ παρὰ τῶν ἔξωθεν αὐτὸ τίθησιν.* *Τίθημι* duos habet accusativos. §. 85. Argentinensis editio, et ceterae illam secutae, *αὐτοῦ*, pro *αὐτό*.

46) *τὸ καί.* Sic Augustanus. Consentit Homilia X. in 1. Tim. III. eandem emphasin in hac particula *καὶ* demonstrans. Vulgo, *καὶ τὸ παρὰ τῶν ἔξωθεν*. perperam. At *Montef.* ed. *τὸ, καὶ παρὰ κτλ.* Sententia sana.

47) *αὐτὸν διερευνήσασθαι δεῖ.* *Αὐτὸν* refertur ad *τὸν μέλλοντα παραδώσειν*, §. 134. et *διερευνήσασθαι* ponitur pro *διερευνᾶν*. h. e. *ipse debet explorare*.

48) *οὐκ ἀπέφυγες.* Sic *διαφυγεῖν*, §. 331. Erasmus, *ἂν ἔφυγες* quae lectio interrogationis signo adjuvari poterat: sed praestat *ἀπέφυγες*. *Ammonius*, *Φεύγει καὶ Ἀποφεύγει διαφέρει. Φεύγει μὲν γὰρ δίκην ὁ κατηγορούμενος, καὶ γὰρ ὁ κατηγορῶν διώκει· ἀποφεύγει δὲ ὁ νικήσας καὶ λυθεὶς τῆς κατηγορίας.* [*Hasselbach.* non inepte scripsit *ἂν ἀπέφυγες*. *L.*]

49) *γράφεσθαί τινα.* Desumta est haec phrasis ex loquendi ratione judiciaria Atheniensium et denotabat quidem, *aliquem criminis publici accusare*, quemadmodum *ἡ γραφὴ* ipsa causam publicam denotabat. Vid. G. *Stallbaum* ad Plat. Euthyphr. C. 1. Xenoph. Apolog. XXIV. *ὡς πεποίηκά τι ὧν ἐγράψαντό με.* *L.*

50) *καὶ πολλάκις.* Non est delendum illud *καὶ*, quod fecit *Hasselbachius*, sed amplificat potius haec particula: A nobis audivisti, *et quidem* saepius. Pugnant pro nostra lectione et verba quae sequuntur, Chrysostomi, qui repetit illud *καὶ*, in verbis; *καὶ ταῦτα πολλάκις.* *L.*

51) *τὸ τῆς ψυχῆς ἀγεννές.* Recte ita scribitur, neque in *ἀγενές* potest mutari. Discimus enim ex *D'Orvillio* ad Chariton. p. 310. *ἀγενὴς* respicere ad *natales* et *genus*; ita ut *τῷ γενναῖος* op-

μικροψυχίαν 52) ἡμᾶς διετέλεις σκώπτων ἀεὶ, 53) ὅτι καὶ ταῖς
139 τυχούσαις φροντίσι καταπίπτομεν εὐκόλως; *Μέμνημαι* μὲν καὶ
ταῦτα πολλάκις, ἔφην, ἀκούσας παρὰ σοῦ τὰ ῥήματα, καὶ
οὐκ ἂν ἀρνηθείην. ἐγὼ δέ σε εἴ ποτε ἔσκωπτον, παίζων, οὐκ
ἀληθεύων, τοῦτο ἐποίουν.

V. Ἀλλ' ὅμως οὐδὲν ὑπὲρ τούτων φιλονεικῶ νῦν. ἀξιῶ
δὲ καὶ αὐτὸν τὴν ἴσην μοι παρασχεῖν εὐγνωμοσύνην, ὅτ' ἂν
140 θελήσω τινὸς ἐπιμνησθῆναι τῶν σοι προσόντων ἀγαθῶν. κἂν
γὰρ ἐπιχειρήσῃς ἡμᾶς ἀπελέγξαι ψευδομένους· οὐ φεισόμεθα,
ἀλλ' ἀποδείξομεν μετριάζοντά σε μᾶλλον, ἢ πρὸς ἀλήθειαν 1)
ταῦτα φθεγγόμενον, ἑτέρῳ μὲν οὐδενὶ, τοῖς δὲ λόγοις τοῖς
σοῖς καὶ ταῖς πράξεσι μάρτυσι 2) κεχρημένοι πρὸς τὴν τῶν λε-
141 γομένων ἀλήθειαν. *Πρῶτον* δέ σε ἐκεῖνο ἐρέσθαι βούλομαι·
οἶσθα, πόση τῆς ἀγάπης ἡ δύναμις; Ὁ μὲν γὰρ Χριστὸς τὰ
τεράστια πάντα ἀφεὶς, ἅπερ ἔμελλεν ὑπὸ τῶν ἀποστόλων τε-
λεῖσθαι· Ἐν τούτῳ, 3) φησὶν, γνώσονται οἱ ἄνθρωποι, ὅτι
ἐμοί ἐστε μαθηταὶ, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Ὁ δὲ Παῦλος
142 πλήρωμα 4) τοῦ νόμου φησὶν αὐτὴν εἶναι, καὶ ταύτης ἀπού-
σης οὐδὲν 5) τῶν χαρισμάτων ὄφελος. *Τοῦτο* δὴ τὸ ἐξαίρετον

---

ponatur, *ἀγεννής* vero per duplicem consonantem scriptum dici de animi generositate. Multum hoc in genere peccatum est ab operis, quia antiqua scribendi ratio non duplicavit consonantes. Vid. *Fischer.* ad Plat. Euthyphr. I, 11. *L.*

52) *μικροψυχίαν.* Vetus interpres: *animae pusillitatem.*

53) *διετέλεις σκώπτειν ἀεὶ*, *semper illudere solebas.* Vid. de usu v. *διατελεῖν* c. partic. *Sturz.* Lex. Xenoph. T. I, p. 706. *L.*

1) *πρὸς ἀλήθειαν.* Sic *πρὸς βίαν.* §. 118. *πρὸς ἀνάγκην.* §. 369. *πρὸς τὸ δέον.* §. 458. *πρὸς ἀκρίβειαν.* §. 543. [Circumscribit *πρὸς* saepius adverbium. Cf. *D'Orville* ad Charit. p. 538. *Matthiae* Gr. Gr. §. 520. p. 870. Viger. p. 664. Quibuscum cf. *Voigtländer* ad Luc. Diall. Mort. VI, 2. a.

2) *πράξεσι μάρτυσι.* *Basil. Sel.* Or. 2. *φερέσθω μάρτυς ἡμῖν τὰ κατ' αἴγυπτον πράγματα.* eoque confert *Dausqueius* Horatii illud, *Testis Metaurum flumen.* Liviique, *templum testis.* [Liceat mihi praeter locum illum, quem *Bengelius* attulit, alios etiam ex libris Xenophontis addere. Agesil. IV, 5. *ὡς ταῦτα ἀληθῆ, πᾶσα μάρτυς ἡ πόλις.* Cyrop. IV, 6, 5. *θεοὶ ἡμῖν μάρτυρες ἔστωσαν.* Memorr. Socr. VII, 7. 23. *αὐτόν σε μάρτυρα σὺν τοῖς θεοῖς εἰδόσι ποιοῦμαι.* *L.*]

3) *ἐν τούτῳ, φησὶν, γνώσονται.* Dictum hoc Joh. 13, 35. dulcissime tractatum vide in Hom. 1. contra Anomoeos. *τὸν γενναῖον οὐχ οὕτω τὰ ἄνωθεν δῶρα χαρακτηρίζειν εἴωθεν, ὡς τῶν οἰκείων πόνων τὰ κατορθώματα κτλ.*

4) *πλήρωμα.* Vid. Ep. ad Rom. XIII, 10. *L.*

5) *οὐδέν.* Repete; *φησὶν εἶναι.* [*ὄφελος.* 1. Cor. XIII, 3. *L.*]

ἀγαθόν, τὸ γνώρισμα τῶν τοῦ Χριστοῦ μαθητῶν, τὸ τῶν
χαρισμάτων ἀνωτέρω κείμενον, εἶδον γενναίως ἐν τῇ σῇ πεφυ-
τευμένον ψυχῇ, καὶ πολλῷ βρύον τῷ καρπῷ.[6] Ὅτι μὲν πολλή 143
μοι, φησί, τοῦ πράγματος ἡ φροντὶς, καὶ μεγίστην ποιοῦμαι
τὴν σπουδὴν ὑπὲρ ταύτης τῆς ἐντολῆς, καὶ αὐτὸς ὁμολογῶ·
ὅτι δὲ οὐδὲ ἐξ ἡμισείας[7] αὐτὴν διηνύσαμεν, καὶ αὐτὸς ἄν μοι
μαρτυρήσαις, εἰ τὸ πρὸς χάριν λέγειν ἀφεὶς τιμῆσαι τἀληθὲς
βουληθείης.

VI. Οὐκοῦν ἐπὶ τοὺς ἐλέγχους τρέψομαι, ἔφην· καὶ ὅπερ 144
ἠπείλησα, ποιήσω νῦν, μετριάζειν μᾶλλον ἢ ἀληθεύειν βουλό-
μενον ἀποδείξας. ἐρῶ δὲ πρᾶγμα ἄρτι συμβεβηκὸς, ἵνα μή τις
ὑποπτεύσῃ, τὰ παλαιά με διηγούμενον, τῷ πλήθει τοῦ χρό-
νου τἀληθὲς ἐπισκιάζειν ἐπιχειρεῖν, τῆς λήθης οὐκ ἀφιείσης[1]
ἐπισκῆψαι[2] τοῖς πρὸς χάριν λεγομένοις παρ' ἡμῶν. Ὅτε γὰρ 145
τῶν ἐπιτηδείων τὶς τῶν ἡμετέρων, ἐπ' ἐγκλήμασιν ὕβρεως καὶ
ἀπονοίας συκοφαντηθεὶς, περὶ τῶν ἐσχάτων ἐκινδύνευε· τότε
οὔτε ἐγκαλοῦντός σοί τινος, οὔτε ἐκείνου τοῦ κινδυνεύειν μέλ-
λοντος δεηθέντος, εἰς μέσους σαυτὸν ἔῤῥιψας τοὺς κινδύνους.
Καὶ τὸ μὲν ἔργον τοῦτο ἦν. ἵνα δέ σε καὶ ἀπὸ τῶν ῥημάτων 146
ἐλέγξωμεν, καὶ αὐτῶν τῶν εἰρημένων σοι μνημονεύσομεν.
ἐπειδὴ γὰρ[3] τὴν προθυμίαν ταύτην οἱ μὲν οὐκ ἀπεδέχοντο,

---

6) *βρύον τῷ καρπῷ.* Dulcissima imago: *Non solum prima amoris semina sparsa vidi in tuo pectore, sed etiam fructus ex illo amore redundantes conspexi.* Utrumque enim verbum, *φυτεύειν* et *βρύειν* dicitur de plantis et posterius quidem est: *pullulare, verna emittere germina.* Eustathius ad Il. ρ', p. 1126. explicat *βρύειν* per *θάλλειν.* Chrysostomus contra Judaeos p. 232. dicit: *σκώληκας ἑώρα πάντοθεν βρύοντας ἀπὸ τοῦ σώματος.* Vid. *Matthaei* l. l. T. I, p. 62. *L.*

7) *οὐδὲ ἐξ ἡμισείας.* Adagium hoc agnoscit vetus interpres. *Nec ex media, ut dicitur,* parte. [Cf. *Erasmi* Chill. 1, 9, 95. Horat. Ep. I, 2, 40. Interpp. ad Hesiod. Op. et Dies. v. 40. Certe in hisce locis similes locutiones proverbiales invenies. *L.*]

1) *ἀφιείσης.* Conjicio *ἐφιείσης*, ut sensus sit: *oblivione impediente, quo minus contradicas.* Saepius utrumque verbum inter se permutatum esse constat. V. C. in Platon. Crit. c. IX, vulgata lectio est *ἀφιέντων,* sed in Cod. Tubing. reperitur *ἐφιέντων. L.*

2) *ἐπισκῆψαι.* Al. *τὶ* addunt. *ἐπισκήπτω*, proprie *irruo.* §. 432. transfertur ad sermonem, quo impressionem in alios facimus vel obtestando vel reprehendendo. Homil. 20. ad Pop. Antioch. *καθάπερ οἱ πρὸς τὰς ἐσχάτας ὄντες ἀναπνοὰς περὶ τῶν οἰκείων ἕκαστος ἐπέσκηψε τῶν ἑαυτοῦ.* Decomposito usus est *Heliodorus* l. 4. c. ult. *ἕτερα προσεπέσκηπτε, σῶζε, λέγων.*

3) *ἐπειδὴ γάρ.* *Γὰρ* saepissime apud Graecos, ut *nam* interdum apud Latinos, post aliquam propositionem solet tractationem inchoare. §. 145. 157. 165. 194. 329.

οἱ δὲ ἐπήνουν καὶ ἐθαύμαζον· καὶ τί πάθω; πρὸς τοὺς ἐγκα-
λοῦντας [4]) ἔφης· ἑτέρως γὰρ οὐκ οἶδα φιλεῖν, ἀλλ' ἢ μετὰ
τοῦ καὶ τὴν ψυχὴν ἐκδιδόναι τὴν ἐμαυτοῦ, ἡνίκα ἄν τινα τῶν
147 ἐπιτηδείων κινδυνεύοντα διασῶσαι δέῃ. ῥήμασι μὲν ἑτέροις, δια-
νοίᾳ δὲ τῇ αὐτῇ τὰ τοῦ Χριστοῦ φθεγγόμενος, ἃ πρὸς τοὺς
μαθητὰς ἔλεγε τῆς τελείας ἀγάπης τοὺς ὅρους τιθείς. μείζονα
γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, φησὶν, ἢ ἵνα τις τὴν ψυχὴν
αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. εἰ τοίνυν μείζονα ταύτης
οὐκ ἔστιν εὑρεῖν, ἐπὶ τὸ τέλος αὐτῆς ἔφθασας· καὶ, δι' ὧν
148 ἔπραξας, καὶ δι' ὧν εἶπας, τῆς κορυφῆς ἐπέβης αὐτῆς. Διὰ
τοῦτό σε προὐδώκαμεν· διὰ τοῦτο τὸν δόλον ἐῤῥάψαμεν ἐκεῖ-
νον. ἆρά σε πείθομεν, ὅτι οὔτε ἐκ κακονοίας, οὔτε εἰς κίν-
δυνον ἐμβαλεῖν βουλόμενοι, ἀλλὰ χρήσιμον ἔσεσθαι εἰδότες, εἰς
149 τὸ στάδιον εἵλκομεν τοῦτο; Εἶτα ἀρκεῖν οἴει, φησὶ, πρὸς τὴν
150 τῶν πλησίον διόρθωσιν τὴν τῆς ἀγάπης δύναμιν; Μάλιστα
μὲν πολὺ μέρος, ἔφην, πρὸς τοῦτο συμβαλέσθαι δύναιτ' ἄν.
εἰ δὲ βούλει καὶ τῆς φρονήσεως ἡμᾶς τῆς σῆς δείγματα ἐξ-
ενεγκεῖν, καὶ ἐπὶ ταύτην βαδιούμεθα, καὶ δείξομεν συνετὸν ὄντα
151 μᾶλλον ἢ φιλόστοργον. Ἐπὶ τούτῳ ἐρυθριάσας ἐκεῖνος καὶ
φοινιχθείς. [5]) τὰ μὲν ἡμέτερά φησι παρείσθω [6]) νῦν· οὐδὲ γὰρ
παρὰ τὴν ἀρχήν σε τὸν ὑπὲρ τούτων λόγον ἀπῄτουν. Εἰ δέ
τι πρὸς τοὺς ἔξωθεν δίκαιον ἔχεις εἰπεῖν, ἡδέως ἂν τοὺς ὑπὲρ
τούτων ἀκούοιμι λόγους.

Διὸ τὴν σκιαμαχίαν [7]) ταύτην ἀφεὶς εἰπὲ, τί πρὸς τοὺς λοιποὺς ἀπολογησόμεθα, καὶ τοὺς τετιμηκότας, καὶ τοὺς ὑπὲρ ἐκείνων ὡς ὑβρισμένων ἀλγοῦντας;

---

4) πρὸς τοὺς ἐγκαλοῦντας. Ἐγκαλεῖν in utramque partem valet. Conf. §. 145.

5) φοινίσσειν, h. l. sensu intransitivo sumendum, et notat: *erubescere*. Vid. Jacobs. ad Achill. Tat. p. 505. *L.*

6) παρείσθω. Congruit haec apodioxis cum praecepto sanctioris prudentiae, quae nos mavult ταπεινοφρονεῖν, quam ταπεινολογεῖν.

7) σκιαμαχίαν. *Eorum fuit* σκιαμαχία, *qui aerem, adversario nullo, feriebant.* Hoc et plura *P. Faber* l. 3. Agon c. 13. ubi hoc quoque notat, σκιαμαχίαν velut προοίμιον quoddam pugilatus fuisse. id quod maxime ad hunc locum facit, ubi Basilius Chrysostomum sibi vetat, adversariis jam jubet occurrere. [Quamvis verum sit, quod **Bengelius** de σκιαμαχίᾳ dicit, tamen h. l. nihil aliud notat, quam nostrum: *Spiegelgefecht.* *L.*]

VII. Καὶ αὐτὸς λοιπὸν, ἔφην, πρὸς τοῦτο ἐπείγομαι. 152
ἐπειδὴ γὰρ ὁ πρός σέ μοι διήνυσται[1]) λόγος, εὐκόλως καὶ
ἐπὶ τοῦτο τρέψομαι τῆς ἀπολογίας τὸ μέρος. τίς οὖν ἡ τού-
των κατηγορία, καὶ τίνα τὰ ἐγκλήματα; ΒΑΣ. Ὑβρίσθαί
φασιν ὑφ' ἡμῶν καὶ δεινὰ πεπονθέναι, ὅτι τὴν τιμὴν, ἣν τι-
μῆσαι ἠθέλησαν, οὐκ ἐδεξάμεθα. [2]) ΙΩ. Ἐγὼ δὲ πρῶτον μὲν 153
ἐκεῖνό φημι, [3]) ὅτι οὐδένα λόγον ποιεῖσθαι δεῖ τῆς εἰς ἀνθρώ-
πους [4]) ὕβρεως, ὅταν διὰ τῆς εἰς ἐκείνους τιμῆς ἀναγκαζώ-
μεθα προσκρούειν Θεῷ. οὐδὲ γὰρ τοῖς ἀγανακτοῦσιν αὐτοῖς
τὸ δυσχεραίνειν ἐπὶ τούτοις ἀκίνδυνον, ἀλλὰ καὶ πολλὴν ἔχει
τὴν ζημίαν. Δεῖ γὰρ, οἶμαι, τοὺς ἀνακειμένους [5]) Θεῷ, καὶ
πρὸς αὐτὸν βλέποντας μόνον, οὕτω διακεῖσθαι εὐλαβῶς, ὡς
μηδὲ ὕβριν τὸ τοιοῦτο ἡγεῖσθαι, καὶ εἰ μυριάκις ἠτιμωμένοι
τυγχάνοιεν. Ὅτι δὲ οὐδὲ μέχρι ἐννοίας τετόλμηκαί τι τοιοῦτον 154
ἐμοὶ, δῆλον ἐκεῖθεν. εἰ μὲν γὰρ ἀπονοίᾳ καὶ φιλοδοξίᾳ, ὡς
πολλάκις ἔφης τινὰς διαβάλλειν, ἐπὶ τοῦτο ἦλθον ἐγὼ, ψηφί-
σασθαι [6]) τοῖς κατηγόροις τῶν τὰ μέγιστα ἠδικηκότων ἂν

---

1) *διήνυσται.* Vetus interpres, *explicita est.* et apud eundem in clausula cujusque libri extat solenne olim verbum *explicit.* in argumento: *expliciunt capitula.*

35) *ἀποθανεῖν διὰ τῆς σαρκὸς οὐ παρῃτήσατο ὁ μονογενὴς τοῦ Θεοῦ παῖς.* Naz. in Vita Basilii M. *τί τούτου παραδοξότερον, θεὸν σταυρούμενον βλέπειν, καὶ τοῦτον μετὰ λῃστῶν, καὶ ὑπὸ τῶν παριόντων γελώμενον, τὸν ἀνάλωτον καὶ τοῦ παθεῖν ὑψηλότερον;* Ibi Scholiastes: *τοῦτο δὲ εἴρηται, οὐχ ὅτι Θεὸς ἐσταυρώθη, κατὰ τοὺς θεοπασχίτας· ἀλλὰ τῷ λόγῳ τῆς ἀντιδόσεως, ὅτι Θεοῦ ἡ σταυρωθεῖσα σὰρξ καὶ οὐχ ἑτέρου τινὸς πέφυκεν.* Hoeschelius. 1. Petr. 3, 18: *σαρκί.* Profundum hoc mysterium explicatur in brevi illa quidem sed festivissima oratiuncula, quae haud scio, an alibi excusa sit: quare collatis duobus MSS. emendatam damus: *Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ χρυσοστόμου, λόγος εἰς τὴν ἁγίαν ἀνάστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. εὐλόγησον, πάτερ. Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης πανηγύρεως. εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. εἴ τις ἔκαμε νηστεύων, ἀπολαβέτω νῦν δηνάριον. εἴ τις ἀπὸ πρώτης εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαριστῶν ἑορτάσῃ. εἴ τι μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλλέτω, καὶ γὰρ οὐδὲν ζημιοῦται. εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω μηδὲν ἐνδοιάζων. εἴ τις εἰς μόνην ἔφθασεν τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδυτῆτα. Φιλότιμος γὰρ ὢν ὁ δεσπότης δέχεται· καὶ τὸν ἔσχατον, καθάπερ τὸν πρῶτον, ἀναπαύει, τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης. καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται. καὶ τὰ ἔργα δέχεται, καὶ τὴν πίστιν ἀσπάζεται, καὶ τὴν γνώμην τιμᾷ, καὶ τὴν προαίρεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολάβετε. πλούσιοι καὶ πένητες, μετ' ἀλλήλων χορεύσατε πνευματικῶς· ἐγκρατεῖς καὶ ῥᾴθυμοι, τὴν ἡμέραν τιμήσατε· νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. ἡ τράπεζα γέμει, τρυφήσατε πάντες· ὁ μόσχος πολὺς, μηδεὶς ἐξέλθοι πεινῶν. πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν, ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία· μηδεὶς ὀδυρέσθω πταίσματα, συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλεν. μηδεὶς φοβείσθω τὸν θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς, τοῦ δεσπότου ὁ θάνατος, ἔσβεσεν αὐτὸν ὑπ' αὐτοῦ κατεχόμενος. ἐκόλασεν τὸν ᾅδην ὁ κατελθὼν εἰς τὸν ᾅδην. καὶ ἐπίκρανε τὸν γευσάμενον ΤΗΣ ΣΑΡΚΟΣ αὐτοῦ. Καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἐβόησεν· ὁ ᾅδης, φησὶν, ἐπικράνθη συναντήσας σοὶ κάτω. ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. ἐπικράνθη, καὶ γὰρ καθῃρέθη. ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν· ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανόν· ἔλαβεν ὅπερ ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπεν. ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος. Ἀνέστη χριστὸς, καὶ σὺ καταβέβλησαι. ἀνέστη χριστὸς, καὶ πεπτώκασι δαίμονες. ἀνέστη χριστὸς, καὶ χορεύουσιν ἄγγελοι. ἀνέστη χριστὸς, καὶ ζωὴ πολιτεύεται. ἀνέστη χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ*

καὶ ἕτερα προστιθέασιν ἀτοπώτερα. οὐ γὰρ τοὺς ἀναξίους ἐγκρίνουσι μόνον, ἀλλὰ καὶ τοὺς ἐπιτηδείους ἐκβάλλουσιν. Ὥσπερ γὰρ δέον ἀμφοτέρωθεν 36) λυμήνασθαι 37) τῆς ἐκκλησίας τὴν ἀσφάλειαν, ἢ ὥσπερ οὐκ ἀρκούσης τῆς προτέρας προφάσεως ἐκκαῦσαι τοῦ Θεοῦ τὴν ὀργὴν, οὕτω τὴν δευτέραν συνῆψαν, οὐχ ἧττον οὖσαν χαλεπήν· καὶ γὰρ ἐξ ἴσης οἶμαι εἶναι δεινὸν, τό τε τοὺς χρησίμους ἀπείργειν καὶ τὸ τοὺς ἀχρείους εἰσωθεῖν· καὶ τοῦτο δὴ γίνεται, ἵνα μηδαμόθεν παραμυθίαν εὑρεῖν μηδὲ ἀναπνεῦσαι δυνηθῇ τοῦ Χριστοῦ τὸ ποίμνιον.
Ταῦτα οὐ μυρίων ἄξια σκηπτῶν; ταῦτα οὐ γεέννης σφοδρο- 284
τέρας, οὐ ταύτης μόνον τῆς ἠπειλημένης ἡμῖν; ἀλλ' ὅμως ἀνέ-
χεται καὶ φέρει τὰ τοσαῦτα κακὰ, ὁ μὴ βουλόμενος τὸν θά-
νατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν. Πῶς
ἄν τις αὐτοῦ τὴν φιλανθρωπίαν θαυμάσειε; 38) πῶς ἂν ἐκ-
πλαγείη τὸν ἔλεον; Οἱ τοῦ Χριστοῦ τὰ τοῦ Χριστοῦ δια-
φθείρουσιν ἐχθρῶν καὶ πολεμίων μᾶλλον· ὁ δὲ ἀγαθὸς ἔτι
χρηστεύεται, καὶ εἰς μετάνοιαν καλεῖ. Δόξα σοὶ, Κύριε, δόξα 285
σοί. Πόσης φιλανθρωπίας ἄβυσσος παρὰ σοί! πόσης 39) ἀνε-
ξικακίας πλοῦτος! Οἱ, διὰ τὸ ὄνομα τὸ σὸν, ἐξ εὐτελῶν καὶ

μνήματος. χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Interpretationem Latinam hujusmodi locis non semper addi putamus oportere. Gnava juventus, disce remoto cortice nare. [Quod ad ea attinet, quae in sequentibus dicit Chrysostomus, nimirum dignos sacerdotes saepius a munere suo remotos, indignos ad munus sacerdotale adscitos esse, non inepte *Ritterus* l. l. p. 268. monuit haecce: „*Dieses Uebel brachten recht eigentlich die Arianer in die Kirche, welche unter allerlei Vorwänden die orthodoxen Bischöfe absetzten oder vertrieben, um Creaturen von ihrer Parthei einzuschieben.*“ Confirmat hanc sententiam exemplo Eustathii, episcopi Antiocheni, qui teste Theodoreto H. E. I, 21. incestus accusatus jussu Constantini Magni in exilium mittebatur. *L.*]

36) *ἀμφοτέρωθεν λυμαίνεσθαι.* Gravissima querela. §. 215.

37) *λυμήνασθαι.* De verbo *λυμαίνεσθαι* seq. accusativo vid. *Matthiae* Gr. maj. §. 415. p. 760. p. 391. p. 718. *Bornemann* ad Xenoph. Cyropaed. VI, 3, 24. Cf. Actor. VIII, 3. Sirac. XXVIII, 23. Diod. Sic. I, 6. *Matthaei* l. l. Tom. I, p. 1. n. 5. *L.*

38) *αὐτοῦ τὴν φιλανθρωπίαν θαυμάσειε.* *Θαυμάζω* cum Genitivo junctum, in malam partem accipitur: cum *accusativo*, in bonam. §. 345. Habet hic locus pium et varium *πάθος*.

39) *πόσης — πόσης.* Parisina editio: *πόση — πόσος.* consentit vetus interpres, et in *πόσος* Augustanus. Epitheton modo Genitivi, modo alterius casus substantivo respondet: sic, *τοσούτων πραγμάτων ὄγκον*, §. 379. et *τοσοῦτον πραγμάτων ὄγκον*. §. 624.

ἀτίμων ἔντιμοι καὶ περίβλεπτοι γεγονότες, τῇ τιμῇ κατὰ τοῦ τετιμηκότος [40]) κέχρηνται, καὶ τολμῶσι τὰ ἀτόλμητα, καὶ ἐνυβρίζουσιν εἰς τὰ ἅγια, τοὺς σπουδαίους ἀπωθούμενοι καὶ ἐκβάλλοντες, ἵνα ἐν ἠρεμίᾳ πολλῇ, καὶ μετὰ ἀδείας τῆς ἐσχάτης
286 οἱ πονηροὶ πάντα, ὅσαπερ ἂν ἐθέλωσιν, ἀνατρέπωσι. Καὶ τούτου δὲ τοῦ δεινοῦ τὰς αἰτίας εἰ θέλεις μαθεῖν, ὁμοίας ταῖς προτέραις εὑρήσεις, τὴν μὲν γὰρ ῥίζαν καὶ (ὡς ἄν τις εἴποι) μητέρα [41]) μίαν ἔχουσι, τὴν βασκανίαν· αὐταὶ [42]) δὲ οὐ μιᾶς
287 εἰσιν ἰδέας, ἀλλὰ διεστήκασιν. Ὁ μὲν γὰρ, ἐπειδὴ νέος ἐστὶν, ἐκβαλλέσθω, φησίν· ὁ δὲ, ἐπειδὴ κολακεύειν οὐκ οἶδεν· ὁ δὲ, ἐπειδὴ τῷ δεῖνι προσέκρουσεν· καὶ ὁ μὲν, ἵνα μὴ ὁ δεῖνα [43]) λυπῆται, τὸν μὲν ὑπ' αὐτοῦ [44]) δοθέντα ἀποδοκιμασθέντα, τοῦτον δὲ ἐγκεκριμένον ὁρῶν· ὁ δὲ, ἐπειδὴ χρηστός ἐστι καὶ ἐπιεικής· [45]) ὁ δὲ, ἐπειδὴ τοῖς ἁμαρτάνουσι φοβερός· [46]) ὁ δὲ, δι' ἄλλην αἰτίαν τοιαύτην· οὐδὲ γὰρ ἀποροῦσι προφάσεων, ὅσων ἂν ἐθέλωσιν. Ἀλλὰ καὶ τὸ πλῆθος τῶν ὄντων [47])

---

40) τετιμηκότος. Frequenter Participium, epitheton, paraphrasis, nominis loco, ponitur, ex re praesenti sumtum. §. 304. 506. 509. Conf. Rom. VII. 13. idque, ubi sermo est de Deo, ad εὐλάβειαν facit, et ad δεινότητα. §. 123. 355. 520. Confer Rom. VIII. 37.

41) ῥίζαν καὶ, ὡς ἄν τις εἴποι, μητέρα. Haec nomina, ῥίζα, et μήτηρ, et ἀρχὴ, et αἰτία, et πηγὴ, et σπέρμα, et ζύμη, vel singula, vel varie inter se conjuncta, plurimis serviunt loquendi modis, originem significantibus. Formula, ὡς ἄν τις εἴποι, ad μητέρα, non etiam ad ῥίζαν ponitur, quia in μητέρα catachresis major inest, quamvis apta.

42) αὐταί. Communiter, αὗται. sed αὐταὶ postulat antitheton aetiologiam sustinens. nam cum illis causis, quas §. 273. 278. enumeravit, cur multi indignos sumant, hae causae, cur iidem multi dignos ejiciant, non in eo conveniunt, quod eandem habeant *radicem*, invidiam; sed quod *ipsae* aeque sint variae. Sic quoque §. 320. αὐτὴ scribendum, non αὕτη.

43) ὁ δεῖνα. Vid. *Brunck.* ad Aristoph. Lys. v. 921. Aves. 648. *L.*

44) ὑπ' αὐτοῦ. Αὑτοῦ est reciprocum, ut saepe. et sic tamen esse scribendum, non αὐτοῦ, π non mutata in φ ostendit.

45) χρηστὸς καὶ ἐπιεικής. *Synesius* epist. 67. Τοῦτο (τὸ πρᾶον εἶναι) ἤδη καὶ λοιδόρημα γέγονεν ὑπὸ τῶν ἀξιούντων ἱερωσύνην προστάτιν εἶναι ἀνθρώποις καὶ πολυπράγμονα.

46) τοῖς ἁμαρτάνουσι φοβερός. *Levitarum portio Deus. nesciunt suis parcere, qui nihil suum norunt: quoniam sanctis omnia Deus est.* Epist. 56. apud Ambrosium. Vid. Deut. 33, 9.

47) τὸ πλῆθος τῶν ὄντων. Vet. int. *multitudinem clericorum:* recte. εἶναι hic absolute de munere dicitur, ut γενέσθαι *fieri.* §. 270. Docet hic locus, numerum antistitum olim non fuisse fixum; de multitudine autem eorum non injustam fuisse populi querelam,

ἐστὶν αὐτοῖς αἰτιᾶσθαι, 48) ὅτ᾽ ἂν μηδὲν ἔχωσιν ἕτερον· καὶ
τὸ μὴ δεῖν ἀθρόως εἰς ταύτην ἀνάγεσθαι τὴν τιμὴν, ἀλλ᾽
ἠρέμα καὶ κατὰ μικρόν· καὶ ἑτέρας, ὅσας ἂν βούλωνται, δύ-
ναιντ᾽ ἂν αἰτίας εὑρεῖν. Ἐγὼ δέ σε ἡδέως ἐνταῦθα ἐρήσομαι, 288
τί οὖν δεῖ τὸν ἐπίσκοπον ποιεῖν τοσούτοις μαχόμενον πνεύ-
μασι; πῶς πρὸς τοσαῦτα στήσεται κύματα; πῶς πάσας ταύ-
τας ἀπώσεται τὰς προσβολάς; Ἂν μὲν γὰρ ὀρθῷ λογισμῷ 289
τὸ πρᾶγμα διαθῆται, ἐχθροὶ καὶ πολέμιοι καὶ αὐτῷ καὶ τοῖς
αἱρεθεῖσιν ἅπαντες· καὶ πρὸς φιλονεικίαν τὴν ἐκείνου πράτ-
τουσιν ἅπαντα, στάσεις καθ᾽ ἑκάστην ἐμβάλλοντες τὴν ἡμέραν,
καὶ σκώμματα μυρία τοῖς αἱρεθεῖσιν ἐπιτιθέντες, ἕως ἂν ἢ
τούτους ἐκβάλωσιν ἢ τοὺς αὐτῶν εἰσαγάγωσιν. καὶ γίγνεται
παραπλήσιον, οἷον ἂν εἴτις κυβερνήτης 49) ἔνδον ἐν τῇ νηῒ τῇ
πλεούσῃ πειρατὰς ἔχοι συμπλέοντας, καὶ αὐτῷ καὶ τοῖς ναύ-
ταις καὶ τοῖς ἐπιβάταις συνεχῶς καὶ καθ᾽ ἑκάστην ἐπιβουλεύον-
τας ὥραν. Ἂν δὲ τὴν πρὸς ἐκείνους χάριν προτιμήσῃ τῆς αὐ- 290
τοῦ σωτηρίας, δεξάμενος οὓς οὐκ ἔδει, ἕξει μὲν τὸν Θεὸν ἀντ᾽
ἐκείνων ἐχθρὸν, οὗ τί γένοιτ᾽ ἂν χαλεπώτερον; καὶ τὰ πρὸς
ἐκείνους δὲ αὐτῷ δυσκολώτερον ἢ πρότερον διακείσεται, πάν-
των συμπραττόντων ἀλλήλοις, καὶ τούτων 50) μᾶλλον ἰσχυρῶν
γιγνομένων. ὥσπερ γὰρ ἀγρίων ἀνέμων ἐξ ἐναντίας προσπε-

---

ex *Gregorii Naz.* apologetico apparet. nam antistites propemodum plures auditoribus scribens, addit, *ὥστε ἐμοί γε δοκοῦσι, προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ, μηδὲ ἔχειν λοιπὸν ὧν ἄρξουσι.* ***Basilius M.*** *θεολόγος δὲ πᾶς ὁ καὶ μυρίαις κηλῖσι τὴν ψυχὴν στιγματίσας.* Igitur non quaevis multitudo doctorum, sed bonorum vera conjunctio prodest. Hodie ecclesia potius paucitate laborat. [*τὸ πλῆθος τῶν ὄντων* nunquam esse potest clericorum multitudo, imo significat ***opum copiam***, ita, ut sensus sit: Alia si *πρόφασις* iis non est in promtu, sumunt eam a divitiis eorum, qui ad munus episcopi adspirant. *L.*]

48) *αἰτιᾶσθαι.* Alii, *αἰτιάσασθαι.* Mox *ἀλλὰ* post *ἕτερον* deest in *Savil.* et aliquot Mss. In Morell. vero et aliis legitur. ***Montef.***

49) *κυβερνήτης.* Artemidorus lib. I. Onirocrit. cap. 37. *ἄρχει δὲ περινέου μὲν ὁ τοίχαρχος, τοιχάρχου δὲ ὁ πρωρεὺς, πρωρέως δὲ ὁ κυβερνήτης, κυβερνήτου δὲ ὁ ναύκληρος.* Hinc locus Pollucis libri I. cap. 9, apud Suidam quoque mutilus, restitui potest, hoc modo: *ὁ δὲ τοίχαρχος ἄρχει περινέου λέγοιτ᾽ ἂν καὶ τοίχων ἄρχων.* ***Hoeschelius.***

50) *τούτων*, his praevalescentibus. ***His***, quos perversis concedens, admiserit. [***Hasselbachius*** legendum censet *καὶ τούτῳ μᾶλλον.* et vertit: ***Auch gegen jene wird seine Lage schwieriger, als früher, wenn Alle mit einander zusammenwirken, und dadurch stärker werden.*** *L.*]

σόντων, τὸ τέως ἡσυχάζον πέλαγος μαίνεται ἐξαίφνης καὶ κορυφοῦται, [51]) καὶ τοὺς ἐμπλέοντας [52]) ἀπόλλυσιν· οὕτω καὶ ἡ τῆς ἐκκλησίας γαλήνη, δεξαμένη φθόρους ἀνθρώπους, [53]) ζάλης καὶ ναυαγίων πληροῦται πολλῶν.

291 XVI. Ἐννόησον οὖν, ὁποῖόν τινα [1]) εἶναι χρὴ τὸν πρὸς τοσοῦτον μέλλοντα ἀνθέξειν χειμῶνα, καὶ τοσαῦτα κωλύματα
292 τῶν κοινῇ [2]) συμφερόντων διαθήσειν καλῶς. Καὶ γὰρ καὶ σεμνὸν [3]) καὶ ἄτυφον, καὶ φοβερὸν καὶ προσηνῆ, καὶ ἀρχικὸν

---

51) *κορυφοῦται.* Dicitur hoc verbum proprie de undis increscentibus. Cf. Iliad. IV, 426.

— ἀμφὶ δέ τ' ἄκρας
Κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην. *L.*

52) *ἐμπλέοντας.* Ita *Ducaeus*, melius quam *Savil.* πλέοντας. **Hughes.**

53) *φθόρους ἀνθρώπους.* Φθόρος, *substantivo nomine*, ὄλεθρος, *et* λοιμὸς *Graecis* homo perniciosus *dicitur*, *ut Latinis* pernicies, pestis, et sceleratus, scelus. *Chrysost. Homil.* 6. *in Ep. ad Ephes.* φθόροι δὲ καὶ μυρίων γέμοντες κακῶν εἰσεπήδησαν εἰς τὰς ἐκκλησίας. **Hoeschelius.** *Aristoph. Equ. V.* 1143. ὦ φθόρε, i. e. ὄλεθρε; φθοροποιέ. **Thirlby.** [Vid. *Passow.* in Lex. h. v. *L.*]

1) *ὁποῖόν τινα.* Pleonasmus Atticus. [Cf. Xenoph. Cyrop. II, 3, 6. ὁποῖός τις ἂν ὦ; Anabas. III, 1. 10. ὁποῖόν τί ἐστι τὸ τοιοῦτον ὄναρ ἰδεῖν. *L.*]

2) *κοινῇ.* Adverbiis, quae non sunt facta ex Dativo foeminini generis, jota non adscribitur, ut πάντη, εἰκῆ· adscribitur iis, quae sunt ex dativo, ut ἰδίᾳ, δημοσίᾳ, κοινῇ.

3) *σεμνὸν — ἥμερον.* Egregia σύνθετα. ἀρχικὸν interpretati sumus, *imperiosum*, ἀδούλωτον *contumacem:* nam Latinum utrumque μέσον est. Ἀδέκαστον *abstinentem* cur illum esse oporteat, patet ex illo Ecclesiastici: Ξένια καὶ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν· καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ΕΛΕΓΜΟΥΣ. cap. 20, 29. Sic enim habet Chrysostomus Homil. 18. in Ep. ad Hebr. ubi *Mutianus Scholasticus* φιμὸς reddit *cucurba*, id est, lorum. Confer *Voss.* de vitiis serm. in *Cucurba.* Apud Vulgatum hodie legitur, *et quasi mutus in ore.* [*σεμνὸς ἀνὴρ* est, quod nos dicimus, *ein gesetzter, verständiger Mann.* Postulat hanc σεμνότητα ipse Paulus a diaconis 1. Tim. III, 8. διακόνους (δεῖ εἶναι) σεμνοὺς, μὴ διλόγους etc. Vid. *Heydenreich.* ad h. l. — *ἄτυφος*, *ab omni fastu alienus.* Aelian. V. H. II, 20. εἰρήσεται δ' οὖν αὐτοῦ καὶ πάνυ πρᾷον, καὶ ἄτυφον, ὃ μέλλω λέγειν. — *φοβερὸς*, vitae honestate et morum integritate *timorem injiciens.* Favorin. φοβερός· ὁ φόβον ἐμποιῶν. — *προσηνής*, *lenis*, Hesych. προσηνὴς, προσφιλής. Cf. **Schleusner.** in Lex. LXX. Intrpt. s. h. v. — *ἀρχικὸς*, ad *regendum aptus*; cadit sane hoc epitheton in episcopum. Apud scriptores profanos dicitur de regibus imprimis et imperatoribus. Vid. Xenoph. Anab. II, 6, 5. Memorr. II, 1, 7. — *κοινωνικός*, occurrit idem epitheton 1. Timoth. VI, 18., ubi explicatur ab ipso Chrysostomo per ὁμιλητικὸς, προσηνὴς, et a Theodoreto per ἄτυφον ἦθος ἔχων. — *ἀδέκαστος*, *qui munerum splendore non excaecatur; incorruptus:* Imprimis dicitur de judicibus. Vid. Aelian. V. H. I, 34. — *καὶ τα-*

καὶ κοινωνικὸν, καὶ ἀδέκαστον καὶ θεραπευτικὸν, καὶ ταπεινὸν καὶ ἀδούλωτον, καὶ σφοδρὸν καὶ ἥμερον εἶναι δεῖ· ἵνα πρὸς ἅπαντα ταῦτα εὐκόλως μάχεσθαι δύνηται, καὶ τὸν ἐπιτήδειον μετὰ πολλῆς τῆς ἐξουσίας, κἂν ἅπαντες ἀντιπίπτωσι, παράγειν, καὶ τὸν οὐ τοιοῦτον μετὰ τῆς αὐτῆς ἐξουσίας, κἂν ἅπαντες συμπνέωσι, μὴ προσίεσθαι, ἀλλ' εἰς ἓν μόνον ὁρᾷν, τῆς ἐκκλησίας τὴν οἰκοδομὴν, καὶ μηδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιεῖν.

Ἆρά σοι δοκοῦμεν εἰκότως παρῃτῆσθαι τοῦ πράγματος 293
τούτου τὴν διακονίαν; καί τοί γε οὔπω πάντα διῆλθον πρὸς σὲ, ἔχω γὰρ καὶ ἕτερα λέγειν. ἀλλὰ μὴ ἀποκάμῃς ἀνδρὸς φίλου καὶ γνησίου, βουλομένου σὲ πείθειν,[4]) ὑπὲρ ὧν ἐγκαλεῖς, ἀνεχόμενος. Οὐδὲ γὰρ πρὸς τὴν ἀπολογίαν σοὶ τὴν ὑπὲρ ἡμῶν ταῦτα χρήσιμά ἐστι[5]) μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τοῦ πράγματος τὴν διοίκησιν τάχα οὐ μικρὸν συμβαλεῖται κέρδος. Καὶ 294
γὰρ ἀναγκαῖον, τὸν μέλλοντα ἐπὶ ταύτην ἔρχεσθαι τοῦ βίου τὴν ὁδὸν, πρότερον ἅπαντα διερευνησάμενον καλῶς, οὕτως ἅψασθαι τῆς διακονίας. τί δήποτε; ὅτι εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν μὴ ξενοπαθεῖν, ἡνίκα ἂν ταῦτα προσπίπτῃ, περιέσται πάντα εἰδότι σαφῶς.[6]) Βούλει οὖν ἐπὶ τὴν τῶν χηρῶν προ- 295
στασίαν ἴωμεν πρότερον, ἢ τὴν τῶν παρθένων κηδεμονίαν,[7]) ἢ τοῦ δικαστικοῦ μέρους[8]) τὴν δυσχέρειαν; καὶ γὰρ ἐφ' ἑκάστου τούτων διάφορος ἡ φροντὶς, καὶ τῆς φροντίδος μείζων ὁ φόβος. Καὶ πρῶτον, ἵνα ἀπὸ τοῦ τῶν ἄλλων εὐτελεστέρου 296
δοκοῦντος εἶναι ποιησώμεθα τὴν ἀρχὴν, ἡ τῶν χηρῶν θερα-

πεινὸν καὶ ἀδούλωτον, bene haec sibi opponuntur, demüthig und doch nicht sclavisch. — σφοδρὸς καὶ ἥμερος, ernst und doch gelind, ἥμερος nimirum dicitur proprie de animalibus, et opponitur ἄγριος. Vid. Xenoph. Cyrop. I, 3, 6. L.]

4) πείθειν. Eodem sensu verbum hoc ponitur §. 55. 118. 462.

5) ἐστι — συμβαλεῖται. Lectio media, unde alii ἔσται — συμβαλεῖται. alii: ἔστι — συμβάλλεται.

6) εἰδότι σαφῶς. Sensus: Hoc certe lucrum habebit, qui omnia bene perspexerit, ut novi aliquid, haec cum acciderint, sibi non putet accidisse. L.

7) κηδεμονίαν. Vid. hac de re *Schroeckh's christl. K. G.* Tom. X, p. 268 sq. L.

8) τοῦ δικαστικοῦ μέρους τὴν δυσχέρειαν. Jam sub ethnicorum imperatorum imperio jurisdictionem celebrabant episcopi Christiani. Serius ab ipsis imperatoribus iis haec provincia demandabatur. Prolixius de hac re exposuit *Schroeckh*. l. l. Tom. VIII, p. 33 sqq. L.

πεία, δοκεῖ μὲν μέχρι τῆς τῶν χρημάτων δαπάνης τοῖς ἐπιμελουμένοις αὐτῶν παρέχειν φροντίδα· 9) *τὸ δὲ οὐ τοιοῦτόν ἐστιν, ἀλλὰ πολλῆς δεῖ κἀνταῦθα τῆς ἐξετάσεως, ὅτ' ἂν αὐ-*
297 *τὰς καταλέγειν δέῃ· ὡς τό γε ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὰς ἐγγράφεσθαι,* 10) *μυρία εἰργάσατο δεινά. Καὶ γὰρ οἴκους διέφθειραν* 11) *καὶ γάμους διέσπασαν, καὶ ἐπὶ κλοπαῖς πολλάκις καὶ καπηλείαις,* 12) *καὶ ἕτερα τοιαῦτα* 13) *ἀσχημονοῦσαι ἑάλω-*

---

9) *παρέχειν φροντίδα.* **Cramerus** l. l. ad h. l. pag. 108 haec scripsit: „*Es gehörte vordem unter die Pflichten der Bischöfe, für die Erhaltung der Armen und vornehmlich der Wittwen zu sorgen. Dazu waren die Schätze der Kirche gewidmet. Man kann davon weitläufiger des* **Fra Paolo traité des benefices** *nachsehen, welches* **Amelot de la Houssaie** *mit schönen Anmerkungen herausgegeben hat.*" Numerus ejusmodi viduarum ab ecclesiis singulis alendarum saepius permagnus erat. Cf. Euseb. H. E. VI, 43. qui narrat, sub Cornelio, episcopo Romano, fuisse Romae *χήρας σὺν θλιβομένοις ὑπὲρ τὰς χιλίας πεντακοσίας*, et animadvertit ad hunc locum *Valesius* T. II. p. 273. „Johannes Chrysostomus in homil. 67. in Matthaeum ait, ecclesiam Antiochenam sua aetate, tametsi mediocres reditus possideret, plus quam tria millia viduarum et virginum aluisse quotidie, praeter hospites leprosos et vinctos." *L.*

10) *ἐγγράφεσθαι.* Vetus interpres: *ecclesiasticis Brevibus adscribuntur.* Catalogum denotat *Brevis* vel *Breve.* Vide *Laurentii Bauckii* Notas ad Taxam Cancell. Apost. p. 317. [*ἐγγράφεσθαι*, referre in catalogum viduarum publicis sumtibus alendarum. Paulus, qui utitur hac de re verbo *καταλέγειν* 1. Timoth. V, 9., ipse etiam curam et sollicitudinem suadet in eligendis viduis Timotheo suo. De his viduis, quae etiam *πρεσβύτιδες, πρεσβύτεραι, πρεσβυτερίδες* vocabantur, scribit Tertullian. de vel. virgin. cap. 9. haecce: „*Ad quam sedem (viduarum) praeter annos LX non tantum univirae, i. e. nuptae aliquando, eliguntur, sed et matres, et quidem educatrices filiorum; scilicet ut experimentis omnium affectuum structae facile norint ceteras et consilio et solatio juvare, et ut nihilominus ea decucurrerint, per quae foemina probari potest.*" Hieronym. ad Nepotian: „*Multas anus alit ecclesia, quae officium aegrotantis praestant, et beneficium accipiunt ministrando.*" Vocabantur hae viduae, quia in album seu matriculam nomina earum referebantur, *matriculariae.* Vid. Dionys. Exig. in versione Canon. XI. Conc. Laodic. „*Mulieres, quae apud Graecos Presbyterae appellantur*, apud nos autem viduae seniores, univirae et matriculariae nominantur. *L.*]

11) *οἴκους διέφθειραν.* Id scilicet postea fecerunt, quam adscriptae essent. Phrasis, *οἴκους διέφθειραν*, late patet. *οἰκοφθόρος*, alias *decoctor*, Hesychio *moechus.* Et quos Ignatius *οἰκοφθόρους* vocat, ad Eph. §. 16. apud paraphrasten ejus sunt *οἱ τοὺς ἀνθρωπίνους οἴκους διαφθείροντες·* Isaaco Vossio, *qui in aliorum liberos contra naturam peccant.* [Vid. **Pearson.** Annott. in Epp. Ignatii. Tom. II, pag. 254. ed. *Frey. L.*] Hoc loco viduae *domos corrumpere* dici videntur, quae juventutem ingenuam ad turpes amores polliciunt.

12) *καπηλείαις.* Quaestu promercali quocunque, vel etiam lenonino. [*Καπηλεῖαι* sunt quaestus *cauponii.* Est nimirum

σαν.[14]) τὸ δὲ τὰς τοιαύτας ἀπὸ τῶν τῆς ἐκκλησίας τρέφε- 298
σθαι χρημάτων, καὶ παρὰ Θεοῦ τιμωρίαν καὶ παρὰ ἀνθρώ-
πων φέρει τὴν ἐσχάτην κατάγνωσιν, καὶ τοὺς εὖ ποιεῖν βου-
λομένους ὀκνηροτέρους καθίστησι. τίς γὰρ ἂν ἕλοιτό ποτε, ἃ
τῷ Χριστῷ προσετάχθη δοῦναι χρήματα, ταῦτα ἀναλίσκειν
εἰς τοὺς τὸ τοῦ Χριστοῦ διαβάλλοντας ὄνομα; Διὰ ταῦτα 299
πολλὴν δεῖ καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν, ὥστε μὴ μό-
νον τὰς εἰρημένας, ἀλλὰ μηδὲ τὰς ἑαυταῖς ἐπαρκεῖν δυναμέ-
νας τὴν τῶν ἀδυνάτων λυμαίνεσθαι τράπεζαν. Μετὰ δὲ τὴν 300
ἐξέτασιν ταύτην, ἑτέρα διαδέχεται φροντὶς οὐ μικρά, ἵνα αὐ-
ταῖς τὰ τῆς τροφῆς ἀθρόως, ὥσπερ ἐκ πηγῶν, ἐπιῤῥέῃ καὶ
μὴ διαλιμπάνῃ ποτέ. Καὶ γὰρ ἀκόρεστόν πως κακὸν ἡ ἀκού-
σιος πενία, καὶ μεμψίμοιρον,[15]) καὶ ἀχάριστον· καὶ δεῖ πολ-
λῆς μὲν τῆς συνέσεως, πολλῆς δὲ τῆς σπουδῆς, ὥστε αὐτῶν
ἐμφράττειν τὰ στόματα, πᾶσαν ἐξαιροῦντα κατηγορίας πρό-
φασιν. Οἱ μὲν οὖν πολλοί, ὅτ᾽ ἂν τινα ἴδωσι χρημάτων κρείτ- 301
τονα, εὐθέως αὐτὸν ἐπιτήδειον εἶναι πρὸς ταύτην ἀποφαίνον-
ται τὴν οἰκονομίαν· ἐγὼ δὲ οὐχ ἡγοῦμαί ποτε ταύτην αὐτῷ
τὴν μεγαλοψυχίαν ἀρκεῖν μόνην, ἀλλὰ δεῖ μὲν αὐτὴν[16]) πρὸ
τῶν ἄλλων (χωρὶς γὰρ ταύτης λυμεὼν[17]) ἂν εἴη μᾶλλον ἢ

καπηλεία proprie eorum, qui in foro desident, ut quae ab aliis importentur, vel quae a sellulariis in ipsa urbe fabricentur, emant et vendant, quales homines fere *cociones* dicuntur. Vid. *Salmas. de usuris* p. 335 seq. et p. 510. Jam quum caupones plerumque turpis lucri sint studiosissimi, hinc notat *καπηλεία* per metaphoram quaestum quemcunque non omnino honestum. Cf. Plato de republ. II, 371. Polit. p. 260 c. De Legg. VIII, p. 849 d. et *Valckenar.* post *oratt. Hemst. et Valckenar.* etc. p. 409 sqq. *L.*]

13) *ἕτερα τοιαῦτα.* Lectio media, unde alii *ἑτέροις τοιούτοις* alii, *πρὸς ἕτερα τοιαῦτα.* sic *πολλὰ τοιαῦτα ἀσχημονεῖν.* §. 486.

14) *ἑάλωσαν.* Saepe hoc verbum, subaudito pronomine reciproco, sub forma neutra passivam vim habet. §. 217. 225. 451. 580. [Cf. Lucian. Charon. §. 13. *Κροῖσον ἁλῶναι ὑπὸ Κύρου.* Vid. de hoc verbo *Viger.* p. 179. ibique *Hoogeveen.* et *Fischer. ad Wellerum.* III, p. 26 sqq. *L.*]

15) *μεμψίμοιρος,* vid. de hoc voc., quod *querulum* notat, Intpp. ad Lucian. Tim. §. 43. *L.*

16) *δεῖ μὲν αὐτὴν — ζητεῖν.* Sinceram hanc lectionem habet editio prima. *αὐτὴν* pendet e *κεκτημένος.* Tota oratio suavissime suspensa, usquedum *ἀνεξικακίαν* ipsam appellat. [*Hasselbach.* scribendum duxit: *δεῖ μὲν αὐτὴν πρὸ τῶν ἄλλων*, et paulo post: *μετὰ μὲν ταύτην.* At verba tali medela non indigere videntur. *L.*]

17) *λυμεών, perditor.* Xenoph. Hier. VI, 6. *φόβος, τῶν ἡδέων λυμεών.* Diodor. Sic. Tom. IV, p. 201. ed. Bipont. *λυμεὼν καὶ προδότης τῆς Ἑλλάδος.* Suidas: *λυμεών, ὁ φθορεύς.* Cf. 4. Maccab. LVIII, 8. et Schol. Soph. Ajac. v. 573. *L.*

προστάτης, καὶ λύκος ἀντὶ ποιμένος) μετὰ δὲ αὐτῆς καὶ ἑτέραν ζητεῖν εἰ κεκτημένος τυγχάνοι. Αὕτη δέ ἐστιν ἡ πάντων αἰτία [18]) ἀνθρώποις τῶν ἀγαθῶν, ἀνεξικακία, ὥσπερ εἴς τινα εὔδιον λιμένα ὁρμίζουσα καὶ παραπέμπουσα [19]) τὴν ψυχήν.
302 Τὸ γὰρ τῶν χηρῶν γένος καὶ διὰ τὴν πενίαν, καὶ διὰ τὴν φύσιν ἀμέτρῳ τινὶ κέχρηνται παῤῥησίᾳ (οὕτω γὰρ ἄμεινον εἰπεῖν) καὶ βοῶσιν ἀκαίρως, καὶ αἰτιῶνται μάτην, καὶ ἀποδύρονται [20]) ὑπὲρ ὧν χάριν εἰδέναι ἐχρῆν, καὶ κατηγοροῦσιν ὑπὲρ ὧν ἀποδέχεσθαι ἔδει. καὶ δεῖ τὸν προεστῶτα ἅπαντα φέρειν γενναίως, καὶ μήτε πρὸς τὰς ἀκαίρους ἐνοχλήσεις, μήτε πρὸς
303 τὰς ἀλόγους παροξύνεσθαι μέμψεις. Ἐλεεῖσθαι [21]) γὰρ ἐκεῖνο τὸ γένος, ὑπὲρ ὧν δυστυχοῦσιν, οὐχ ὑβρίζεσθαι, δίκαιον· ὡς [22]) τόγε ἐπεμβαίνειν αὐτῶν ταῖς συμφοραῖς, καὶ τῇ διὰ τὴν πενίαν ὀδύνῃ τὴν ἀπὸ τῆς ὕβρεως προστιθέναι, τῆς ἐσχάτης
304 ὠμότητος ἂν εἴη. Διὰ τοῦτο καί τις ἀνὴρ σοφώτατος, [23]) εἴς τε τὸ φιλοκερδὲς καὶ τὸ ὑπεροπτικὸν τῆς ἀνθρωπίνης φύσεως ἀπιδὼν, καὶ τῆς πενίας τὴν φύσιν [24]) καταμαθὼν, δεινὴν οὖσαν καὶ τὴν γενναιοτάτην ψυχὴν καταβαλεῖν, καὶ πεῖσαι περὶ τῶν αὐτῶν ἀναισχυντεῖν πολλάκις· ἵνα μή τις αἰτούμενος παρ᾽ αὐτῶν ὀργίζηται, μηδὲ τῷ συνεχεῖ τῶν ἐντεύξεως παροξυνθεὶς πολέμιος, ὁ βοηθεῖν ὀφείλων, γίνηται· παρασκευάζει προσηνῆ τε αὐτὸν καὶ εὐπρόσιτον εἶναι τῷ δεομένῳ, λέγων· Κλῖ-

---

18) *αἰτία.* Inter Chrysostomi dicta, flosculorum instar fragrantia, hoc ipsum excerpsit *H. Kromayerus* Hist. ecc. p. 199. et *V. Strigelius* Hypomn. ad N. T. P. I. pag. 56. in quibus frequenter hunc Dialogum citat.

19) *καὶ παραπέμπουσα.* Hoc non habet ed. prima, nec Augustanus.

20) *ἀποδύρονται.* 3. Maccab. IV, 12. *ἀποδύρεσθαι τὴν ἀκλεᾶ τῶν ἀδελφῶν ταλαιπωρίαν*, deplorare miseriam fratrum probrosam. Vid. Alciphron. I, 35. 38. *L.*

21) *ἐλεεῖσθαι.* *Clementer tractari:* Conf. S. Judae ep. v. 22. et infra, §. 589. [vid. *Wahl.* in Clav. N. T. *L.*]

22) *ὡς, quare.* §. 225. 297. 309.

23) *τὶς ἀνὴρ σοφώτατος.* Ita laudat Siracidem, ut non videatur statutum habuisse, quantum auctoritatis haberet liber ejus.

24) *φύσιν.* Prudenter notat Chrysostomus et hominum ingenium, et pauperum mores hoc loco, et alibi divitum, et passim omnium generum, cleri, populi, principum, magistratuum, patrumfamilias, aegrotorum, mulierum, viduarum, suorum temporum, amici sui, et, quod maximum est, suos ipsius: ut hic Dialogus non minimam *doctrinae moralis semioticae* partem alat; quam oratori ecclesiastico vehementer esse utilem, censet *Schraderus* Comm. in Rhet. Aristot. p. 367 seq.

νον πτωχῷ [25]) ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραό-
τητι εἰρηνικά. καὶ τὸν παροξύνοντα ἀφεὶς, τί γὰρ ἄν τις τῷ
κειμένῳ λέγοι; τῷ δυναμένῳ τὴν ἐκείνου φέρειν ἀσθένειαν δια-
λέγεται, παρακαλῶν, τῷ τε ἡμέρῳ τῆς ὄψεως καὶ τῇ τῶν λό-
γων πραότητι πρὸ τῆς δόσεως αὐτὰν ἀνορθοῦν. Ἂν δέ τις 305
τὰ μὲν ἐκείνων μὴ λαμβάνῃ, μυρίοις δὲ αὐτὰς ὀνείδεσι περι-
βάλλῃ, καὶ ὑβρίζῃ, καὶ παροξύνηται κατ' αὐτῶν· οὐ μόνον
οὐκ ἐπεκούφισε τὴν ἀπὸ τῆς πενίας ἀθυμίαν τῷ δοῦναι, [26])
ἀλλὰ καὶ μεῖζον ταῖς λοιδορίαις εἰργάσατο τὸ δεινόν. Κἂν γὰρ 306
λίαν ἀναισχυντεῖν βιάζωνται διὰ τὴν τῆς γαστρὸς ἀνάγκην,
ἀλλ' ὅμως ἀλγοῦσιν ἐπὶ τῇ βίᾳ ταύτῃ. ὅτ' ἂν οὖν διὰ μὲν τὸ
τοῦ λιμοῦ δέος προσαιτεῖν ἀναγκάζωνται, διὰ δὲ τὸ προσαι-
τεῖν ἀναιδεύεσθαι, διὰ δὲ τὸ ἀναιδεύεσθαι πάλιν ὑβρίζωνται·
ποικίλη τις καὶ πολὺν φέρουσα τὸν ζόφον ἐπὶ τὴν ψυχὴν ἐκεί-
νων κατασκήπτει τῆς ἀθυμίας ἡ δύναμις. Καὶ δεῖ τὸν τού- 307
των ἐπιμελούμενον ἐπὶ τοσοῦτον εἶναι μακρόθυμον, ὡς μὴ
μόνον αὐταῖς μὴ πλεονάζειν τὴν ἀθυμίαν ταῖς ἀγανακτήσε-
σιν, [27]) ἀλλὰ καὶ τῆς οὔσης [28]) τὸ πλέον κοιμίζειν διὰ τῆς
παρακλήσεως. ὥσπερ γὰρ ἐκεῖνος [29]) ὁ ὑβρισθεὶς ἐν πολλῇ
περιουσίᾳ [30]) οὐκ αἰσθάνεται τῆς ἀπὸ τῶν χρημάτων ὠφε-
λείας, διὰ τὴν ἀπὸ τῆς ὕβρεως πληγήν· οὕτως οὗτος [31]) ὁ

---

25) *κλῖνον πτωχῷ.* Sirac. IV, 8. Memoriter tamen citasse videtur Chrys. hunc locum. Nam in exemplaribus Sirac. non solum deest *ἀλύπως*, sed etiam verba ultima commatis ita audiunt: *καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι.* L.

26) *τῷ δοῦναι.* Alii *τῷ μὴ δοῦναι*, quae tamen lectio sine dubio a manu emendatrice profecta est. L.

27) *ἀγανάκτησις* est, quod nos dicimus, *der Unwille*, ut *ἀγανακτεῖν*, *indigne ferre.* Platon. Crito. I. *καὶ γὰρ ἂν πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾷν*, quo in loco opponitur *ῥᾳδίως καὶ πρᾴως φέρειν.* Cf. Fischer. ind. Aesch. Socrat. s. v. *ἀγανακτεῖν.* L.

28) *τῆς οὔσης.* sc. *ἀθυμίας.* Sensus: Non sufficit, eum, qui viduarum curam gerit, non augere earum tristitiam sua iracundia, imo leniat partem tristitiae illius suo solatio. *Κοιμίζειν* est *sopire.* Xenoph. Symp. II, 24. *ὁ οἶνος τὰς λύπας, ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζει.*

29) *ὥσπερ γὰρ ἐκεῖνος.* Hunc quoque locum in Electa illa sua retulit *Henichius.*

30) *περιουσίᾳ*, scil. *τῆς ἐκκλησίας.* §. 311. [*περιουσία* est *abundantia, copia.* Diodor. Sic. XX, 59. Thucyd. II, 13. Aelian. V. H. IV, 19. Herodian. III, 13, 10. L.]

31) *οὕτως οὗτος.* Nil hic peccatum contra euphoniam. *οὕτω καὶ οὗτος.* Homil. 6. c. Jud. et §. 266. Omnibus his locis *οὗτος* et *ἐκεῖνος* antitheton faciunt.

προσηνῆ λόγον ἀκούσας, καὶ μετὰ παρακλήσεως τὸ διδόμενον
δεξάμενος, γάνυται [32]) πλέον καὶ χαίρει, καὶ διπλοῦν [33]) αὐτῷ
308 τὸ δοθὲν τῷ τρόπῳ γίγνεται. Καὶ ταῦτα οὐκ ἀπ' ἐμαυτοῦ,
ἀλλ' ἀπ' ἐκείνου τοῦ τὰ πρότερα παραινέσαντος φθέγγομαι·
Τέκνον [34]) γάρ, φησίν, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον, καὶ ἐν πάσῃ
δόσει λύπην λόγου. [35]) οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; οὕτω
κρεῖσσον λόγος ἢ δόσις. ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα [36]) ἀγα-
309 θόν, καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ. [37]) Οὐκ ἐπι-
εικῆ δὲ μόνον καὶ ἀνεξίκακον τὸν τούτων προστάτην, ἀλλὰ
καὶ οἰκονομικὸν οὐχ ἧττον εἶναι χρή· ὡς ἐὰν τοῦτο ἀπῇ, πά-
λιν εἰς τὴν ἴσην περιίσταται ζημίαν τὰ τῶν πενήτων χρήματα.
310 Ἤδη γάρ τις ταύτην πιστευθεὶς τὴν διακονίαν, καὶ χρυσὸν συν-
αγαγὼν πολύν, αὐτὸς μὲν οὐ κατέφαγεν, ἀλλ' οὐδὲ εἰς τοὺς
δεομένους, πλὴν ὀλίγων, [38]) ἀνάλωσε, τὸ δὲ πλέον κατορύ-

---

32) γάνυται. Ganniunt canes gestientes ob heroum adventum; ut apud Lucretium: gannitu vocis adulant. et Homero γάνυσθαι semper est gestu quodam oris exprimere gaudium ob amici aut alicujus cari adventum. *Scaliger* ad Varr. pag. 155. [γάνυμαι est verbum Homericum. Iliad. XIV, 504. XX, 405. Odyss. XII, 43. Explicatur hoc verbum a Xenophonte in Conviv. VIII, 30. per ἥδεσθαι. Verba Xenophontis haec sunt: Ἔστι μὲν γάρ δήπου καὶ Ὁμήρῳ, — — — γάνυται δέ τ' ἀκούων· Τοῦτο δὲ φράζει, ὅτι ἥδεται δέ τ' ἀκούων. L.]

33) διπλοῦν. Similiter dicit Cicero de Off. II, 9. „Sed est alius quoque quidam aditus ad multitudinem, ut in universorum animos tanquam influere possimus. Ac primum de illis tribus, quae ante dixi, benevolentiae praecepta videamus: quae quidem beneficiis capitur maxime: *secundo autem loco benefica voluntate benevolentia movetur, etiamsi res forte non suppetit.*" L.

34) τέκνον. Jes. Siracid. XVIII, 6. — μὴ δῷς μῶμον. *Noli probrum ingerere.* Vid. *Schleusner.* in Lex. LXX. Intpp. s. v. μῶμος. — Ἐν ἀγαθοῖς elliptice est dictum pro: in conferendis bonis. Primum tribue beneficia, et deinde opportuniori tempore castiga. L.

35) λόγου. Sic Er. editio et vetus int. aliique apud *Montef.* at, λόγων, ante ceteros *Hoeschelius:* qui tamen postea in praeclara *Ecclesiastici* editione ad hunc ejus locum annotavit, vetustissimas Augustanas membranas, ex quibus editionem ille suam potissimum adornavit, et Biblia Complutensia habere λόγου πονηροῦ. [*Montef.* retinuit λόγων, quod est in vulgaribus Siracidae editionibus. L.]

36) ὑπὲρ δόμα. Ita *Savil.*, *Montefalcon.*, *Hughes*, et maxima pars Codicum. *Morellius* legit ὑπὲρ δόματα. In vulgaribus Siracidae editionibus est etiam ὑπὲρ δόμα. L.

37) κεχαριτωμένῳ. *Schleusnerus* in Lex. LXX. Intpp. Tom. V, p. 507 sine idonea causa legendum censet κεχαριτωμένα, ut vertenda sint haec verca: *Utraque homini conciliant gratiam.* In Chrysostomo nulla est h. l. lectionis diversitas. L.

38) ὀλίγων. Neutrum, ut πλέον. αὐτὰ synthesin facit.

ξας ἐφύλαττεν, ἕως οὗ καιρὸς χαλεπὸς ἐπιστὰς παρέδωκεν
αὐτὰ ταῖς τῶν ἐναντίων χερσί. Πολλῆς οὖν δεῖ τῆς προμη- 311
θείας, ὡς μήτε πλεονάζειν, μήτε ἐλλείπειν τῆς ἐκκλησίας τὴν
περιουσίαν· ἀλλὰ πάντα μὲν σκορπίζειν ταχέως 39) τοῖς δεο-
μένοις τὰ ποριζόμενα, ἐν δὲ ταῖς τῶν ἀρχομένων προαιρέσεσι
συνάγειν τῆς ἐκκλησίας τοὺς θησαυρούς. Τὰς δὲ τῶν ξένων 312
ὑποδοχάς, καὶ τὰς τῶν ἀσθενούντων θεραπείας, πόσης μὲν
οἴει δεῖσθαι χρημάτων δαπάνης, πόσης δὲ τῆς τῶν ἐπιστα-
τούντων ἀκριβείας τε καὶ συνέσεως; Καὶ γὰρ τῆς εἰρημένης
ἀναλώσεως ταύτην ἧττονα μὲν οὐδαμῶς, πολλάκις δὲ καὶ μεί-
ζονα εἶναι ἀνάγκη· καὶ τὸν ἐπιστατοῦντα, ποριστικόν 40) τινα
μετ' εὐλαβείας καὶ φρονήσεως, ὡς παρασκευάζειν καὶ φιλοτί-
μως καὶ ἀλύπως διδόναι τοὺς κεκτημένους τὰ παρ' αὐτῶν,
ἵνα μὴ τῆς τῶν ἀσθενούντων ἀναπαύσεως προνοῶν, τὰς τῶν
παρεχόντων πλήττῃ ψυχάς. Τὴν δὲ μακροθυμίαν καὶ τὴν σπου- 313
δὴν πολὺ 41) πλείονα ἐνταῦθα ἐπιδείκνυσθαι δεῖ. δυσάρεστον
γάρ πως οἱ νοσοῦντες χρῆμα καὶ ῥᾴθυμον· κἂν μὴ πολλὴ
πανταχόθεν εἰσφέρηται ἀκρίβεια καὶ φροντίς, ἀρκεῖ καὶ τὸ μι-
κρὸν ἐκεῖνο 42) παροφθὲν μεγάλα ἐργάσασθαι τῷ νοσοῦντι κακά.

XVII. Ἐπὶ δὲ τῆς τῶν παρθένων 1) ἐπιμελείας τοσούτῳ 314
μείζων ὁ φόβος, ὅσῳ καὶ τὸ κτῆμα τιμιώτερον, καὶ βασίλι-

---

39) *σκορπίζειν ταχέως.* Igitur in ejusmodi potissimum facultatibus praestat usus, quam usura. [*Σκορπίζειν* est *largiter distribuere*. Cf. 2. Cor. IX, 9. ubi etiam de beneficio dicitur, ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι. Esse hoc verbum Atticis insolens, et ante communis dialecti incrementa tantum in Jonica dialecto fuisse usitatum, docet *Lobeck.* ad Phrynich. p. 218 coll. *Passovio* in Lex. et *Planck.* de vera natura et indole orat. graecae N. T. p. 55. *L.*]

40) *ποριστικόν.* *Themistius* in Sophista, οὔτε ἐγὼ χρηματιστὴς καὶ ποριστικός. [*ποριστικὸς* vocatur is, *qui facile aliquid comparat.* Xenoph. Memorr. III, 1, 6. τὸν στρατηγὸν εἶναι χρὴ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις. *L.*]

41) *πολύ.* Saepe hoc additur comparativo: interdum, πολλῷ. [Vid. Lucian. Diall. D. II, 1. Xenoph. Memorr. II, 10, 2. Cyrop. VII, 2, 9. 2 Cor. VIII, 22. coll. *Passovio* in Lex. *L.*]

42) *ἐκεῖνο.* Possit hoc referri ad erratum, quod aeger ad animum nimis revocet. Augustanus, ἐκεῖ, ex rhythmo ἀρκεῖ. Erasmus omittit. Placet, ἐκείνῳ, scil. τῷ ἐπιστατοῦντι, *illi*, ab illo. [Modo ἐκείνῳ sit in Codicibus: *Montefalconius* habet ἐκεῖνο, quod ferri potest. *Hughes* legit ἐκεῖ, quae sana esse videtur lectio. *Tunc vel tantilla quidem negligentia potest magna aegrotanti mala afferre. L.*]

1) *παρθένων.* *Παρθένοι* quae sint, describitur a Basilio Can. XVIII. ad Amphiloch. p. 767, παρθένος ὀνομάζεται ἑκουσίως

ἀτίμων ἔντιμοι καὶ περίβλεπτοι γεγονότες, τῇ τιμῇ κατὰ τοῦ τετιμηκότος [40]) κέχρηνται, καὶ τολμῶσι τὰ ἀτόλμητα, καὶ ἐνυβρίζουσιν εἰς τὰ ἅγια, τοὺς σπουδαίους ἀπωθούμενοι καὶ ἐκβάλλοντες, ἵνα ἐν ἠρεμίᾳ πολλῇ, καὶ μετὰ ἀδείας τῆς ἐσχάτης
286 οἱ πονηροὶ πάντα, ὅσαπερ ἂν ἐθέλωσιν, ἀνατρέπωσι. Καὶ τούτου δὲ τοῦ δεινοῦ τὰς αἰτίας εἰ θέλεις μαθεῖν, ὁμοίας ταῖς προτέραις εὑρήσεις. τὴν μὲν γὰρ ῥίζαν καὶ (ὡς ἄν τις εἴποι) μητέρα [41]) μίαν ἔχουσι, τὴν βασκανίαν· αὐταὶ [42]) δὲ οὐ μιᾶς
287 εἰσιν ἰδέας, ἀλλὰ διεστήκασιν. Ὁ μὲν γὰρ, ἐπειδὴ νέος ἐστὶν, ἐκβαλλέσθω, φησίν· ὁ δὲ, ἐπειδὴ κολακεύειν οὐκ οἶδεν· ὁ δὲ, ἐπειδὴ τῷ δεῖνι προσέκρουσεν· καὶ ὁ μὲν, ἵνα μὴ ὁ δεῖνα [43]) λυπῆται, τὸν μὲν ὑπ᾽ αὐτοῦ [44]) δοθέντα ἀποδοκιμασθέντα, τοῦτον δὲ ἐγκεκριμένον ὁρῶν· ὁ δὲ, ἐπειδὴ χρηστός ἐστι καὶ ἐπιεικής· [45]) ὁ δὲ, ἐπειδὴ τοῖς ἁμαρτάνουσι φοβερός· [46]) ὁ δὲ, δι᾽ ἄλλην αἰτίαν τοιαύτην· οὐδὲ γὰρ ἀποροῦσι προφάσεων, ὅσων ἂν ἐθέλωσιν. Ἀλλὰ καὶ τὸ πλῆθος τῶν ὄντων [47])

---

40) τετιμηκότος. Frequenter Participium, epitheton, paraphrasis, nominis loco, ponitur, ex re praesenti sumtum. §. 304. 506. 509. Conf. Rom. VII. 13. idque, ubi sermo est de Deo, ad εὐλάβειαν facit, et ad δεινότητα. §. 123. 355. 520. Confer Rom. VIII. 37.

41) ῥίζαν καὶ, ὡς ἄν τις εἴποι, μητέρα. Haec nomina, ῥίζα, et μήτηρ, et ἀρχὴ, et αἰτία, et πηγὴ, et σπέρμα, et ζύμη, vel singula, vel varie inter se conjuncta, plurimis serviunt loquendi modis, originem significantibus. Formula, ὡς ἄν τις εἴποι, ad μητέρα, non etiam ad ῥίζαν ponitur, quia in μητέρα catachresis major inest, quamvis apta.

42) αὐταί. Communiter, αὗται. sed αὐταὶ postulat antitheton aetiologiam sustinens. nam cum illis causis, quas §. 273. 278. enumeravit, cur multi indignos sumant, hae causae, cur iidem multi dignos ejiciant, non in eo conveniunt, quod eandem habeant *radicem*, invidiam; sed quod *ipsae* aeque sint variae. Sic quoque §. 320. αὐτὴ scribendum, non αὕτη.

43) ὁ δεῖνα. Vid. *Brunck.* ad Aristoph. Lys. v. 921. Aves. 648. *L.*

44) ὑπ᾽ αὐτοῦ. Αὐτοῦ est reciprocum, ut saepe. et sic tamen esse scribendum, non αὐτοῦ, π non mutata in φ ostendit.

45) χρηστὸς καὶ ἐπιεικής. *Synesius* epist. 67. Τοῦτο (τὸ πρᾶον εἶναι) ἤδη καὶ λοιδόρημα γέγονεν ὑπὸ τῶν ἀξιούντων ἱερωσύνην προστάτιν εἶναι ἀνθρώποις καὶ πολυπράγμονα.

46) τοῖς ἁμαρτάνουσι φοβερός. *Levitarum portio Deus. nesciunt suis parcere, qui nihil suum norunt: quoniam sanctis omnia Deus est.* Epist. 56. apud Ambrosium. Vid. Deut. 33, 9.

47) τὸ πλῆθος τῶν ὄντων. Vet. int. *multitudinem clericorum:* recte. εἶναι hic absolute de munere dicitur, ut γενέσθαι *fieri.* §. 270. Docet hic locus, numerum antistitum olim non fuisse fixum; de multitudine autem eorum non injustam fuisse populi querelam,

ἐστὶν αὐτοῖς αἰτιᾶσθαι,[48]) ὅτ᾽ ἂν μηδὲν ἔχωσιν ἕτερον· καὶ τὸ μὴ δεῖν ἀθρόως εἰς ταύτην ἀνάγεσθαι τὴν τιμὴν, ἀλλ᾽ ἠρέμα καὶ κατὰ μικρόν· καὶ ἑτέρας, ὅσας ἂν βούλωνται, δύναιντ᾽ ἂν αἰτίας εὑρεῖν. Ἐγὼ δέ σε ἡδέως ἐνταῦθα ἐρήσομαι, 288
τί οὖν δεῖ τὸν ἐπίσκοπον ποιεῖν τοσούτοις μαχόμενον πνεύμασι; πῶς πρὸς τοσαῦτα στήσεται κύματα; πῶς πάσας ταύτας ἀπώσεται τὰς προσβολάς; Ἂν μὲν γὰρ ὀρθῷ λογισμῷ 289
τὸ πρᾶγμα διαθῆται, ἐχθροὶ καὶ πολέμιοι καὶ αὐτῷ καὶ τοῖς αἱρεθεῖσιν ἅπαντες· καὶ πρὸς φιλονεικίαν τὴν ἐκείνου πράττουσιν ἅπαντα, στάσεις καθ᾽ ἑκάστην ἐμβάλλοντες τὴν ἡμέραν, καὶ σκώμματα μυρία τοῖς αἱρεθεῖσιν ἐπιτιθέντες, ἕως ἂν ἢ τούτους ἐκβάλωσιν ἢ τοὺς αὑτῶν εἰσαγάγωσιν. καὶ γίγνεται παραπλήσιον, οἷον ἂν εἴτις κυβερνήτης[49]) ἔνδον ἐν τῇ νηῒ τῇ πλεούσῃ πειρατὰς ἔχοι συμπλέοντας, καὶ αὐτῷ καὶ τοῖς ναύταις καὶ τοῖς ἐπιβάταις συνεχῶς καὶ καθ᾽ ἑκάστην ἐπιβουλεύοντας ὥραν. Ἂν δὲ τὴν πρὸς ἐκείνους χάριν προτιμήσῃ τῆς αὑ- 290
τοῦ σωτηρίας, δεξάμενος οὓς οὐκ ἔδει, ἕξει μὲν τὸν Θεὸν ἀντ᾽ ἐκείνων ἐχθρὸν, οὗ τί γένοιτ᾽ ἂν χαλεπώτερον; καὶ τὰ πρὸς ἐκείνους δὲ αὐτῷ δυσκολώτερον ἢ πρότερον διακείσεται, πάντων συμπραττόντων ἀλλήλοις, καὶ τούτων[50]) μᾶλλον ἰσχυρῶν γιγνομένων. ὥσπερ γὰρ ἀγρίων ἀνέμων ἐξ ἐναντίας προσπε-

---

ex *Gregorii Naz.* apologetico apparet. nam antistites propemodum plures auditoribus scribens, addit, *ὥστε ἐμοί γε δοκοῦσι, προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ, μηδὲ ἔχειν λοιπὸν ὧν ἄρξουσι.* **Basilius M.** *θεολόγος δὲ πᾶς ὁ καὶ μυρίαις κηλῖσι τὴν ψυχὴν στιγματίας.* Igitur non quaevis multitudo doctorum, sed bonorum vera conjunctio prodest. Hodie ecclesia potius paucitate laborat. [*τὸ πλῆθος τῶν ὄντων* nunquam esse potest clericorum multitudo, imo significat *opum copiam*, ita, ut sensus sit: Alia si *πρόφασις* iis non est in promtu, sumunt eam a divitiis eorum, qui ad munus episcopi adspirant. *L.*]

48) *αἰτιᾶσθαι.* Alii, *αἰτιάσασθαι.* Mox *ἀλλὰ* post *ἕτερον* deest in *Savil.* et aliquot Mss. In Morell. vero et aliis legitur. ***Montef.***

49) *κυβερνήτης.* Artemidorus lib. I. Onirocrit. cap. 37. *ἄρχει δὲ πρωρέου μὲν ὁ τοίχαρχος, τοιχάρχου δὲ ὁ πρωρεὺς, πρωρέως δὲ ὁ κυβερνήτης, κυβερνήτου δὲ ὁ ναύκληρος.* Hinc locus Pollucis libri I. cap. 9, apud Suidam quoque mutilus, restitui potest, hoc modo: *ὁ δὲ τοίχαρχος ἄρχει πρωρέου λέγοιτ᾽ ἂν καὶ τοίχων ἄρχων.* ***Hoeschelius.***

50) *τούτων*, **his praevalescentibus.** *His*, quos perversis concedens, admiserit. [***Hasselbachius*** legendum censet *καὶ τούτῳ μᾶλλον.* et vertit: *Auch gegen jene wird seine Lage schwieriger, als früher, wenn Alle mit einander zusammenwirken, und dadurch stärker werden. L.*]

σόντων, τὸ τέως ἡσυχάζον πέλαγος μαίνεται ἐξαίφνης καὶ κορυφοῦται, [51]) καὶ τοὺς ἐμπλέοντας [52]) ἀπόλλυσιν· οὕτω καὶ ἡ τῆς ἐκκλησίας γαλήνη, δεξαμένη φθόρους ἀνθρώπους, [53]) ζάλης καὶ ναυαγίων πληροῦται πολλῶν.

291 XVI. Ἐννόησον οὖν, ὁποῖόν τινα [1]) εἶναι χρὴ τὸν πρὸς
τοσοῦτον μέλλοντα ἀνθέξειν χειμῶνα, καὶ τοσαῦτα κωλύματα
292 τῶν κοινῇ [2]) συμφερόντων διαθήσειν καλῶς. Καὶ γὰρ καὶ σε-
μνὸν [3]) καὶ ἄτυφον, καὶ φοβερὸν καὶ προσηνῆ, καὶ ἀρχικὸν

---

51) κορυφοῦται. Dicitur hoc verbum proprie de undis increscentibus. Cf. Iliad. IV, 426.

— ἀμφὶ δέ τ' ἄκρας
Κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην. L.

52) ἐμπλέοντας. Ita *Ducaeus*, melius quam *Savil.* πλέοντας. **Hughes.**

53) φθόρους ἀνθρώπους. Φθόρος, *substantivo nomine*, ὄλεθρος, et λοιμὸς *Graecis* homo perniciosus *dicitur*, *ut Latinis* pernicies, pestis, et sceleratus, scelus. *Chrysost. Homil.* 6. *in Ep. ad Ephes.* φθόροι δὲ καὶ μυρίων γέμοντες κακῶν εἰσεπήδησαν εἰς τὰς ἐκκλησίας. **Hoeschelius.** *Aristoph. Equ. V.* 1143. ὦ φθόρε, i. e. ὄλεθρε; φθοροποιέ. **Thirlby.** [Vid. *Passow.* in Lex. h. v. *L.*]

1) ὁποῖόν τινα. Pleonasmus Atticus. [Cf. Xenoph. Cyrop. II, 3, 6. ὁποῖός τις ἂν ὦ; Anabas. III, 1. 10. ὁποῖόν τί ἐστι τὸ τοιοῦτον ὄναρ ἰδεῖν. *L.*]

2) κοινῇ. Adverbiis, quae non sunt facta ex Dativo foeminini generis, jota non adscribitur, ut πάντη, εἰκῆ· adscribitur iis, quae sunt ex dativo, ut ἰδίᾳ, δημοσίᾳ, κοινῇ.

3) σεμνὸν — ἥμερον. Egregia σύνθετα. ἀρχικὸν interpretati sumus, *imperiosum*, ἀδούλωτον *contumacem*: nam Latinum utrumque μέσον est. Ἀδέκαστον *abstinentem* cur illum esse oporteat, patet ex illo Ecclesiastici: Ξένια καὶ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν· καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ΕΛΕΓΜΟΥΣ. cap. 20, 29. Sic enim habet Chrysostomus Homil. 18. in Ep. ad Hebr. ubi *Mutianus Scholasticus* φιμὸς reddit *cucurba*, id est, lorum. Confer *Voss.* de vitiis serm. in *Cucurba*. Apud Vulgatum hodie legitur, *et quasi mutus in ore.* [σεμνὸς ἀνὴρ est, quod nos dicimus, *ein gesetzter, verständiger Mann.* Postulat hanc σεμνότητα ipse Paulus a diaconis 1. Tim. III, 8. διακόνους (δεῖ εἶναι) σεμνούς, μὴ διλόγους etc. Vid. *Heydenreich.* ad h. l. — ἄτυφος, *ab omni fastu alienus.* Aelian. V. H. II, 20. εἰρήσεται δ' οὖν αὐτοῦ καὶ πάνυ πρᾷον, καὶ ἄτυφον, ὃ μέλλω λέγειν. — φοβερὸς, vitae honestate et morum integritate *timorem injiciens.* Favorin. φοβερός· ὁ φόβον ἐμποιῶν. — προσηνής, *lenis*, Hesych. προσηνὴς, προσφιλής. Cf. **Schleusner.** in Lex. LXX. Intrpt. s. h. v. — ἀρχικὸς, ad *regendum aptus*; cadit sane hoc epitheton in episcopum. Apud scriptores profanos dicitur de regibus imprimis et imperatoribus. Vid. Xenoph. Anab. II, 6, 5. Memorr. II, 1, 7. — κοινωνικός, occurrit idem epitheton 1. Timoth. VI, 18., ubi explicatur ab ipso Chrysostomo per ὁμιλητικὸς, προσηνής, et a Theodoreto per ἄτυφον ἦθος ἔχων. — ἀδέκαστος, *qui munerum splendore non excaecatur*; *incorruptus*: Imprimis dicitur de judicibus. Vid. Aelian. V. H. I, 34. — καὶ τα-

καὶ κοινωνικὸν, καὶ ἀδέκαστον καὶ θεραπευτικὸν, καὶ ταπεινὸν καὶ ἀδούλωτον, καὶ σφοδρὸν καὶ ἥμερον εἶναι δεῖ· ἵνα πρὸς ἅπαντα ταῦτα εὐκόλως μάχεσθαι δύνηται, καὶ τὸν ἐπιτήδειον μετὰ πολλῆς τῆς ἐξουσίας, κἂν ἅπαντες ἀντιπίπτωσι, παράγειν, καὶ τὸν οὐ τοιοῦτον μετὰ τῆς αὐτῆς ἐξουσίας, κἂν ἅπαντες συμπνέωσι, μὴ προσίεσθαι, ἀλλ' εἰς ἓν μόνον ὁρᾶν, τῆς ἐκκλησίας τὴν οἰκοδομὴν, καὶ μηδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιεῖν.

Ἆρά σοι δοκοῦμεν εἰκότως παρῃτῆσθαι τοῦ πράγματος 293
τούτου τὴν διακονίαν; καί τοί γε οὔπω πάντα διῆλθον πρὸς σὲ, ἔχω γὰρ καὶ ἕτερα λέγειν. ἀλλὰ μὴ ἀποκάμῃς ἀνδρὸς φίλου καὶ γνησίου, βουλομένου σὲ πείθειν, [4]) ὑπὲρ ὧν ἐγκαλεῖς, ἀνεχόμενος. Οὐδὲ γὰρ πρὸς τὴν ἀπολογίαν σοὶ τὴν ὑπὲρ ἡμῶν ταῦτα χρήσιμά ἐστι [5]) μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τοῦ πράγματος τὴν διοίκησιν τάχα οὐ μικρὸν συμβαλεῖται κέρδος. Καὶ 294
γὰρ ἀναγκαῖον, τὸν μέλλοντα ἐπὶ ταύτην ἔρχεσθαι τοῦ βίου τὴν ὁδὸν, πρότερον ἅπαντα διερευνησάμενον καλῶς, οὕτως ἅψασθαι τῆς διακονίας. τί δήποτε; ὅτι εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν μὴ ξενοπαθεῖν, ἡνίκα ἂν ταῦτα προσπίπτῃ, περιέσται πάντα εἰδότι σαφῶς. [6]) Βούλει οὖν ἐπὶ τὴν τῶν χηρῶν προ- 295
στασίαν ἴωμεν πρότερον, ἢ τὴν τῶν παρθένων κηδεμονίαν, [7]) ἢ τοῦ δικαστικοῦ μέρους [8]) τὴν δυσχέρειαν; καὶ γὰρ ἐφ' ἑκάστου τούτων διάφορος ἡ φροντὶς, καὶ τῆς φροντίδος μείζων ὁ φόβος. Καὶ πρῶτον, ἵνα ἀπὸ τοῦ τῶν ἄλλων εὐτελεστέρου 296
δοκοῦντος εἶναι ποιησώμεθα τὴν ἀρχὴν, ἡ τῶν χηρῶν θερα-

πεινὸν καὶ ἀδούλωτον, bene haec sibi opponuntur, *demüthig und doch nicht sclavisch.* — σφοδρὸς καὶ ἥμερος, *ernst und doch gelind*, ἥμερος nimirum dicitur proprie de animalibus, et opponitur ἄγριος. Vid. Xenoph. Cyrop. I, 3, 6. *L.*]

4) πείθειν. Eodem sensu verbum hoc ponitur §. 55. 118. 462.

5) ἐστὶ — συμβαλεῖται. Lectio media. unde alii ἔσται — συμβαλεῖται. alii: ἐστὶ — συμβάλλεται.

6) εἰδότι σαφῶς. Sensus: Hoc certe lucrum habebit, qui omnia bene perspexerit, ut novi aliquid, haec cum acciderint, sibi non putet accidisse. *L.*

7) κηδεμονίαν. Vid. hac de re *Schroeckh's christl. K. G.* Tom. X, p. 268 sq. *L.*

8) τοῦ δικαστικοῦ μέρους τὴν δυσχέρειαν. Jam sub ethnicorum imperatorum imperio jurisdictionem celebrabant episcopi Christiani. Serius ab ipsis imperatoribus iis haec provincia demandabatur. Prolixius de hac re exposuit *Schroeckh.* l. l. Tom. VIII, p. 33 sqq. *L.*

σεία, δοκεῖ μὲν μέχρι τῆς τῶν χρημάτων δαπάνης τοῖς ἐπι-
μελουμένοις αὐτῶν παρέχειν φροντίδα· 9) τὸ δὲ οὐ τοιοῦτόν
ἐστιν, ἀλλὰ πολλῆς δεῖ κἀνταῦθα τῆς ἐξετάσεως, ὅτ᾽ ἂν αὐ-
297 τὰς καταλέγειν δέῃ· ὡς τό γε ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὰς
ἐγγράφεσθαι, 10) μυρία εἰργάσατο δεινά. *Καὶ γὰρ* οἴκους διέ-
φθειραν 11) καὶ γάμους διέσπασαν, καὶ ἐπὶ κλοπαῖς πολλάκις
καὶ καπηλείαις, 12) καὶ ἕτερα τοιαῦτα 13) ἀσχημονοῦσαι ἑάλω-

---

9) *παρέχειν φροντίδα.* **Cramerus** l. l. ad h. l. pag. 108 haec scripsit: „*Es gehörte vordem unter die Pflichten der Bischöfe, für die Erhaltung der Armen und vornehmlich der Wittwen zu sorgen. Dazu waren die Schätze der Kirche gewidmet. Man kann davon weitläufiger des* **Fra Paolo traité des benefices** *nachsehen, welches* **Amelot de la Houssaie** *mit schönen Anmerkungen herausgegeben hat.*" Numerus ejusmodi viduarum ab ecclesiis singulis alendarum saepius permagnus erat. Cf. Euseb. H. E. VI, 43. qui narrat, sub Cornelio, episcopo Romano, fuisse Romae *χήρας σὺν θλιβομένοις ὑπὲρ τὰς χιλίας πεντακοσίας*, et animadvertit ad hunc locum **Valesius** T. II, p. 273. „Johannes Chrysostomus in homil. 67. in Matthaeum ait, ecclesiam Antiochenam sua aetate, tametsi mediocres reditus possideret, plus quam tria millia viduarum et virginum aluisse quotidie, praeter hospites leprosos et vinctos." *L.*

10) *ἐγγράφεσθαι.* Vetus interpres: *ecclesiasticis Brevibus adscribuntur.* Catalogum denotat *Brevis* vel *Breve.* Vide *Laurentii Bauckii* Notas ad Taxam Cancell. Apost. p. 317. [*ἐγγράφεσθαι*, referre in catalogum viduarum publicis sumtibus alendarum. Paulus, qui utitur hac de re verbo *καταλέγειν* 1. Timoth. V, 9., ipse etiam curam et sollicitudinem suadet in eligendis viduis Timotheo suo. De his viduis, quae etiam *πρεσβύτιδες, πρεσβύτεραι, πρεσβυτερίδες* vocabantur, scribit Tertullian. de vel. virgin. cap. 9. haecce: „*Ad quam sedem (viduarum) praeter annos LX non tantum univirae, i. e. nuptae aliquando, eliguntur, sed et matres, et quidem educatrices filiorum; scilicet ut experimentis omnium affectuum structae facile norint ceteras et consilio et solatio juvare, et ut nihilominus ea decucurrerint, per quae foemina probari potest.*" Hieronym. ad Nepotian. „*Multas anus alit ecclesia, quae officium aegrotanti praestant, et beneficium accipiunt ministrando.*" Vocabantur hae viduae, quia in album seu matriculam nomina earum referebantur, *matriculariae.* Vid. Dionys. Exig. in versione Canon. XI. Conc. Laodic. „*Mulieres, quae apud Graecos Presbyterae appellantur,* apud nos autem viduae seniores, univirae et matriculariae nominantur. *L.*]

11) *οἴκους διέφθειραν.* Id scilicet postea fecerunt, quam adscriptae essent. Phrasis, *οἴκους διέφθειραν*, late patet. *οἰκοφθόρος*, alias *decoctor*, Hesychio *moechus.* Et quos Ignatius *οἰκοφθόρους* vocat, ad Eph. §. 16. apud paraphrasten ejus sunt *οἱ τοὺς ἀνθρωπίνους οἴκους διαφθείροντες·* Isaaco Vossio, *qui in aliorum liberos contra naturam peccant.* [Vid. **Pearson.** Annott. in Epp. Ignatii. Tom. II, pag. 254. ed. *Frey. L.*] Hoc loco viduae *domos corrumpere* dici videntur, quae juventutem ingenuam ad turpes amores pelliciunt.

12) *καπηλείαις.* Quaestu promercali quocunque, vel etiam lenonino. [*Καπηλεῖαι* sunt quaestus *cauponii.* Est nimirum

σαν. [14]) τὸ δὲ τὰς τοιαύτας ἀπὸ τῶν τῆς ἐκκλησίας τρέφε- 298
σθαι χρημάτων, καὶ παρὰ Θεοῦ τιμωρίαν καὶ παρὰ ἀνθρώ-
πων φέρει τὴν ἐσχάτην κατάγνωσιν, καὶ τοὺς εὖ ποιεῖν βου-
λομένους ὀκνηροτέρους καθίστησι. τίς γὰρ ἂν ἕλοιτό ποτε, ἃ
τῷ Χριστῷ προσετάχθη δοῦναι χρήματα, ταῦτα ἀναλίσκειν
εἰς τοὺς τὸ τοῦ Χριστοῦ διαβάλλοντας ὄνομα; Διὰ ταῦτα 299
πολλὴν δεῖ καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν, ὥστε μὴ μό-
νον τὰς εἰρημένας, ἀλλὰ μηδὲ τὰς ἑαυταῖς ἐπαρκεῖν δυναμέ-
νας τὴν τῶν ἀδυνάτων λυμαίνεσθαι τράπεζαν. Μετὰ δὲ τὴν 300
ἐξέτασιν ταύτην, ἑτέρα διαδέχεται φροντὶς οὐ μικρά, ἵνα αὐ-
ταῖς τὰ τῆς τροφῆς ἀθρόως, ὥσπερ ἐκ πηγῶν, ἐπιῤῥέῃ καὶ
μὴ διαλιμπάνῃ ποτέ. Καὶ γὰρ ἀκόρεστόν πως κακὸν ἡ ἀκού-
σιος πενία, καὶ μεμψίμοιρον, [15]) καὶ ἀχάριστον· καὶ δεῖ πολ-
λῆς μὲν τῆς συνέσεως, πολλῆς δὲ τῆς σπουδῆς, ὥστε αὐτῶν
ἐμφράττειν τὰ στόματα, πᾶσαν ἐξαιροῦντα κατηγορίας πρό-
φασιν. Οἱ μὲν οὖν πολλοί, ὅτ' ἂν τινα ἴδωσι χρημάτων κρείτ- 301
τονα, εὐθέως αὐτὸν ἐπιτήδειον εἶναι πρὸς ταύτην ἀποφαίνον-
ται τὴν οἰκονομίαν· ἐγὼ δὲ οὐχ ἡγοῦμαί ποτε ταύτην αὐτῷ
τὴν μεγαλοψυχίαν ἀρκεῖν μόνην, ἀλλὰ δεῖ μὲν αὐτὴν [16]) πρὸ
τῶν ἄλλων (χωρὶς γὰρ ταύτης λυμεὼν [17]) ἂν εἴη μᾶλλον ἢ

8) *διχοτομηθῆναι*, dissecari. *Τὸ γὰρ πνεῦμα*, *inquit* **Nicetas**, *νῦν μὲν εἰ καὶ μὴ ἀνακέκραται τοῖς ἀναξίοις, ἀλλ' οὖν παρεῖναι δοκεῖ πως τοῖς ἅπαξ ἐσφραγισμένοις, τὴν ἐκ τῆς ἐπιστροφῆς αὐτοῖς σωτηρίαν ἀναμένον· τότε δὲ καὶ ἐξ ὅλου τῆς βεβηλωσάσης αὐτοῦ τὴν χάριν ψυχῆς ἀποτμηθήσεται. ἡ γὰρ ἐν τῷ εὐαγγελίῳ διχοτομία οὐδὲν ἄλλο δηλοῖ, ἀλλ' ἢ τὴν εἰς τὸ παντελὲς τοῦ πνεύματος ἀλλοτρίωσιν. διὰ τοῦτο οὐκ ἔστιν ἐν τῷ ᾅδῃ ἐξομολογούμενος, οὐκ ἔστι τῆς βοηθείας τοῦ πνεύματος συμπαρούσης. Quod et apud S. Maximum legitur. Hoeschelius.* Verba haec sunt *Basilii M.* cap. XVI. de Spiritu S. Congruit, quod vet. int. habet, *separationem illam.* Et sic alii quoque *τὸ διχοτομεῖν* explicant, maxime *Gildas Sapiens* Castig. in Ordinem eccl. *Veniet ergo*, *inquit*, *Dominus servi illius*, et dividet *eum*, *a sanctis scil.* sacerdotibus, *partemque ejus ponet cum hypocritis, cum eis certe, qui sub* sacerdotali *tegmine multum obumbrant nequitiae.* Videtur tamen potius *διχοτομεῖν* esse *dissecare* s. *dissicere* s. *dirigere* (ex *dis* et *ago*; conf. *Festum:*) a victimis piacularibus humanisve suppliciis tralatum. Vide LXX. Int. et ex Gatakero Thesaurum *Suiceri:* quo opere ut *Budaeus* et *Camerarius*, Commentariis suis, in Jus civile potissimum et in Medicinam, sic ille haud paulo commodius in Theologiam utilitates Graecae linguae derivavit.

9) *ὑποκριτῶν*, perfidiosos. *Ὑποκριταὶ* iidem, qui *ἄπιστοι*. Matth. 24, 51. (cum Castell. not.) et Luc. 12, 46. Totam oe-

ολέσθαι. ἀλλὰ τί σοι πάθω; [10]) οὐκ ἔστι ταῦτα, οὐκ ἔστι.
347 Καὶ, εἰ βούλει γε, ἀπὸ τῆς βασιλείας πρῶτον, ἧς οὐ τοσοῦτος ὅσος [11]) τῆς ἱερωσύνης τῷ Θεῷ λόγος, παρέξω [12]) σοι
348 τούτων, ὧν εἶπον, τὴν πίστιν. Ὁ Σαοὺλ ἐκεῖνος, ὁ τοῦ Κεῖς υἱὸς, οὐκ αὐτὸς σπουδάσας ἐγένετο βασιλεὺς, ἀλλ' ἀπῆλθε [13]) μὲν ἐπὶ τὴν τῶν ὄνων ζήτησιν, καὶ ὑπὲρ τούτων ἐρωτήσων τὸν προφήτην ἤρχετο· ὁ δὲ αὐτῷ περὶ τῆς βασιλείας διελέγετο. καὶ οὐδὲ οὕτως ἐπέδραμε, καί τοι παρὰ ἀνδρὸς ἀκούων προφήτου· ἀλλὰ καὶ ἀνεδύετο, [14]) καὶ παρῃτεῖτο, λέγων· Τίς εἰμι ἐγὼ, καὶ τίς ὁ οἶκος τοῦ πατρός μου; τί οὖν; ἐπειδὴ κακῶς ἐχρήσατο τῇ παρὰ τοῦ Θεοῦ δοθείσῃ τιμῇ, ἴσχυσεν αὐτὸν ἐξελέσθαι ταῦτα τὰ ῥήματα τῆς τοῦ βασιλεύσαντος
349 ὀργῆς; [15]) Καίτοι γε ἐνῆν λέγειν πρὸς τὸν Σαμουὴλ ἐγκαλοῦντα αὐτῷ· μὴ γὰρ αὐτὸς ἐπέδραμον τῇ βασιλείᾳ; μὴ γὰρ ἐπεπήδησα ταύτῃ τῇ δυναστείᾳ; τὸν τῶν ἰδιωτῶν ἐβουλόμην

---

conomi virtutem tollit *perfidia*. coll. 1. Cor. 4, 2. et *omnes aliud agentes*, inquit Tullius, *aliud simulantes*, *perfidi sunt*. l. 3. Off. c. 14.

10) τί σοι πάθω; *quid ago?* Formula revocandi. §. 146. 545. Saepe πράττειν et παθεῖν inter se permutantur. [Cujus rei testis est Scholiasta ad Aristoph. Nub. v. 234. τὸ πάσχειν οὐ μόνον ἐπὶ τῶν πασχόντων τι λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. Cf. Schol. Eur. Hecub. 614. et 1041. *Barnes.* ad Eurip. Orest. 535. et Suppl. 257. *Valckenar.* ad Eurip. Phoeniss. 902. *Reitz.* ad Lucian. T. II, p. 73. et p. 918. *L.*]

11) ὅσος. Ed. prima; ὁ. Possit resolvi, sic, λόγος ὁ (scil. ὢν) τῆς ἱερωσύνης οὐ τοσοῦτός ἐστι τῆς βασιλείας, ut sit sermo concisus, de quo ad *Cic.* Ep. 8. 15. 3.

12) παρέξω σοι πίστιν. i. e. δείξω τὴν ἀλήθειαν. §. 355. Phrasis insignis. Conf. Act. 17, 31. et annot. *Raphelii* ex Polyb. p. 360—375. Sic, παρέχω θαῤῥεῖν. supra, p. 377. [Πίστιν παρέχειν est *fidem facere*, argumenta *ad rem probandam proferre*. Polyb. IV, 33. οὐ μὴν, ἀλλὰ καὶ χωρὶς τῶν πάλαι τὰ τελευταῖα μετὰ τὸν Μεγάλης πόλεως καὶ Μεσσήνης συνοικισμὸν, ἱκανὴν ἂν παράσχῃ πίστιν τοῖς ὑφ' ἡμῶν εἰρημένοις. Joseph. Antiq. II, 9, 4. τοῖς μέντοι προκατηγγελμένοις ὑπὸ τοῦ θεοῦ πίστιν ὁ τοκετὸς τῆς γυναικὸς παρεῖχε. Vocabulum πίστις saepius de *argumento* dici, praeter *Raphelium*, quem excitavit *Bengelius*, demonstravit *Munthius* ad Act. XVII, 31. *L.*]

13) ἀπῆλθε. Vid. 1. Reg. IX. *L.*

14) ἀνεδύετο, se subduxit. Vid. Pollux V, 112. ibique *Hemsterhusius*. Cf. Homer. Odyss. IX, 377. Iliad. VII, 217. XIII, 225. *L.*

15) τοῦ βασιλεύσαντος ὀργῆς. Montefalconius legit: τοῦ βασιλεύσαντος αὐτὸν ὀργῆς, atque simul annotavit, Savilium et quosdam Mss. post ὀργῆς inserere οὐδαμῶς, abesse vero eam vocem a Morellio et aliis. *L.*

βίον ζῆν τὸν ἀπράγμονα[16]) καὶ ἡσύχιον, σὺ δέ με ἐπὶ τοῦτο εἵλκυσας τὸ ἀξίωμα. ἐν ἐκείνῃ μένων τῇ ταπεινότητι, εὐκόλως ἂν ταῦτα ἐξέκλινα τὰ προσκρούματα. οὐ γὰρ δήπου τῶν πολλῶν εἷς ὢν καὶ ἀσήμων, ἐπὶ τοῦτο ἂν ἐξεπέμφθην τὸ ἔργον, οὐδ' ἂν ἐμοὶ τὸν πρὸς τοὺς Ἀμαληκίτας πόλεμον ἐνεχείρισεν ὁ Θεός· μὴ ἐγχειρισθεὶς δὲ, οὐκ ἄν ποτε ταύτην ἥμαρτον τὴν
ἁμαρτίαν. Ἀλλὰ ταῦτα πάντα ἀσθενῆ πρὸς ἀπολογίαν· οὐκ 350
ἀσθενῆ δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνα, καὶ μᾶλλον ἐκκαίει
τοῦ Θεοῦ τὴν ὀργήν. Τὸν γὰρ ὑπὲρ τὴν ἀξίαν τιμηθέντα οὐκ 351
εἰς τὴν τῶν ἁμαρτημάτων ἀπολογίαν χρὴ προβάλλεσθαι τῆς τιμῆς τὸ μέγεθος, ἀλλὰ εἰς μείζονα βελτιώσεως προτροπὴν κε-
χρῆσθαι τῇ πολλῇ περὶ αὐτὸν τοῦ Θεοῦ σπουδῇ. Ὁ δὲ, διότι 352
κρείττονος ἔτυχεν ἀξιώματος, διὰ τοῦτο ἁμαρτάνειν αὐτῷ νομίζων ἐξεῖναι, οὐδὲν ἕτερον ἢ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν αἰτίαν τῶν οἰκείων ἁμαρτημάτων ἐπιδεῖξαι ἐσπούδακεν· ὅπερ τοῖς ἀσεβέσι καὶ ῥαθύμως τὸν ἑαυτῶν διοικοῦσι βίον λέγειν ἔθος ἀεί. ἀλλ' οὐχ ἡμᾶς οὕτω διακεῖσθαι χρὴ, οὐδὲ εἰς τὴν αὐτὴν ἐκείνοις ἐκπίπτειν μανίαν, ἀλλὰ πανταχοῦ[17]) σπουδάζειν τὰ παρ' ἑαυτῶν εἰσφέρειν εἰς δύναμιν τὴν ἡμετέραν, καὶ
εὔφημον καὶ γλῶτταν καὶ διάνοιαν ἔχειν. Οὐδὲ γὰρ ὁ Ἡλὶ[18]) 353
(ἵνα τὴν βασιλείαν ἀφέντες, ἐπὶ τὴν ἱερωσύνην, περὶ ἧς ἡμῖν ὁ λόγος, ἔλθωμεν νῦν) ἐσπούδασε κτήσασθαι τὴν ἀρχήν· τί οὖν αὐτὸν τοῦτο, ἡνίκα ἥμαρτεν, ὤνησεν; καὶ τί λέγω, κτήσασθαι; οὐδὲ διαφυγεῖν μὲν οὖν, εἴπερ ἤθελε, δυνατὸν ἦν αὐτῷ, διὰ τὴν ἀνάγκην τοῦ νόμου· καὶ γὰρ ἦν τῆς Λευῒ φυλῆς, καὶ τὴν ἀρχὴν διὰ τοῦ γένους[19]) ἄνωθεν καταβαίνουσαν ἔδει δέξασθαι. ἀλλ' ὅμως καὶ οὗτος τῆς τῶν παίδων παροινίας[20])

16) βίον ζῆν ἀπράγμονα, *in otio vivere, vitam a negotiis multis iisque publicis vacuam vivere.* Vid. *Suiceri.* Obs. sacr. p. 320. *L.*

17) ἀλλὰ πανταχοῦ. Aurea sententia.

18) Ἡλί. Utiliter conferas *J. M. Langii* Ex. de Heli sacerdotis ministerio funesto. [Legitur narratio ipsa 1. Samuel. IV, 18. *L.*]

19) διὰ τοῦ γένους. Vet. int. *per stegma.* i. e. per stemma. Adjici hoc potest *Carolo du Fresne.* [De re vid. *Winer's Bibl. Realwörterbuch.* pag. 409. Cf. Numeror. XIII, 17—20. et *Wahl.* Clav. N. T. Tom. II, p. 23. ed. 2. *L.*]

20) παροινίας. Denotatur hoc verbo non solum ex ebrietate nascens, sed quaelibet insania et petulantia. §. 407. Vid. *Thirlby.* Παροινίαν mentis graviter describit Hom. 6. iniens contra Jud. [Alii legunt παρονομίας, ut annotavit *Montefalconius.* De voc. παροινία

354 ἔδωκε δίκην οὐ μικράν. Τί δὲ αὐτὸς ὁ πρῶτος γενόμενος τῶν Ἰουδαίων ἱερεὺς,[21]) περὶ οὗ τοσαῦτα διελέχθη ὁ Θεὸς τῷ Μωϋσεῖ, ἐπειδὴ μὴ ἴσχυσε μόνος πρὸς τοσούτου πλήθους στῆναι μανίαν, οὐ παρὰ μικρὸν ἦλθεν ἀπολέσθαι, εἰ μὴ ἡ τοῦ
355 ἀδελφοῦ προστασία ἔλυσε τοῦ Θεοῦ τὴν ὀργήν;[22]) Ἐπειδὴ δὲ Μωϋσέως ἐμνήσθημεν, καλὸν καὶ ἐκ τῶν ἐκείνῳ συμβεβηκότων δεῖξαι τοῦ λόγου τὴν ἀλήθειαν. αὐτὸς γὰρ οὗτος ὁ μακάριος Μωϋσῆς τοσοῦτον ἀπέσχε τοῦ τὴν προστασίαν ἁρπάσαι τῶν Ἰουδαίων, ὡς καὶ διδομένην παραιτεῖσθαι,[23]) καὶ Θεοῦ κελεύοντος ἀνανεῦσαι καὶ ἐπὶ τοσοῦτον,[24]) ὥστε καὶ παροξῦναι τὸν προστάττοντα. καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα, γενόμενος ἐπὶ τῆς ἀρχῆς, ὑπὲρ τοῦ ταύτης ἀπαλλαγῆναι ἡδέως ἀπέθνησκεν.[25]) ἀπόκτεινον γάρ με, φησὶν, εἰ

---

recte jam praecepit *Bengelius*. Quid proprie sit *παροινία*, docuit Xenoph. Sympos. VI, 2. Cf. *Wetsten.* ad 1. Timoth. III, 3. et *Sturz.* in Lex. Xenoph. III, 461. b. *L.*]

21) *ἱερεύς.* Aaronem dicit. *Ambrosius* Ep. 56. vel quisquis hanc scripsit: *Neque excusare tantum sacerdotem possumus*, *neque condemnare audemus*. Excusatum quidem s. *Purgatum* magna ex parte *Aaronem* dare conatus est *F. Moncaejus* libris II. de Vitulo aureo, aliique ad novam eorum editionem a *J. F. Mayero* notati, quibus adde *Athanasii* Ep. canonicam ad Rufinianum. Plus ad purgandum valerent, quae sermocinatur *Grosgebaueri Wächter-Stimme* cap. 14. ex quibus tamen idem ille peccati Aaronitici atrocitatem, suffragante Langio l. c. demonstravit, praeclare de timida antistitum agens modestia, quam ipsam Chrysostomus quoque in ista Aaronis actione et h. l. et in Hom. c. Jud. notat. Interea non contemnenda est *Joh. Buchaeri* epicrisis: *Dum* Moncaejus *docet*, inquit, *quam vel solam praelati* imprudentiam *vindex a tergo sequatur ira Dei; quippe qui* familiae suae tritici mensuram (*Luc.* 12.) *non jubet dari tantum, sed etiam* dari in tempore, *multo magis ex eo constat, quam deteriore loco futuri sint, qui se ex eo genere non imprudentes solum, verum etiam* infideles *praestiterint*,

22) *ὀργήν.* De re vid. Exod. IV, 13. *L.*

23) *παραιτεῖσθαι.* Media haec lectio: unde alii *παρῃτῆσθαι* vel *παραιτήσασθαι*. [Lectio *παραιτήσασθαι*, quam habet Codex *Olivarii*, recepta est ab *Hughesio*. *Montefalconius* legit *παρῃτῆσθαι*. Non inepte monet *Hughes*, *παραιτήσασθαι* melius convenire sequenti *ἀνανεῦσαι*. Secutus est etiam *Hasselbachius* lectionem *παραιτήσασθαι*. *L.*]

24) *ἀνανεῦσαι.* *Hughes* legit, *ἀνανεῦσαι, ἐπὶ τοσοῦτον*, et scripsit de hac lectione haecce: „Hanc lectionem Savil. firmant Codices *Olivarii*, *Francisci* et *Max. Margunii* tertius, atque omnino praeferenda est Ducaeanae *ἀνανεῦσαι καὶ παροξῦναι*. — Interpunge vero *ἀνανεῦσαι περὶ τοσοῦτον, ὥστε* —.“ *L.*

25) *ἀπέθνησκεν.* *ἂν* praefigit *Montef. ed.* Bene.

οὕτω μοι μέλλεις [26]) ποιεῖν. Τί οὖν; ἐπειδὴ ἥμαρτεν ἐπὶ τοῦ 356
ὕδατος, ἴσχυσαν αἱ συνεχεῖς αὗται παραιτήσεις ἀπολογήσασθαι
ὑπὲρ αὐτοῦ, καὶ πεῖσαι τὸν Θεὸν δοῦναι συγγνώμην; καὶ πό-
θεν ἄλλοθεν τῆς ἐπηγγελμένης ἀπεστερεῖτο γῆς; οὐδαμόθεν
ἄλλοθεν, ὡς ἅπαντες ἴσμεν, ἀλλ' ἢ διὰ τὴν ἁμαρτίαν ταύ-
την, δι' ἣν ὁ θαυμαστὸς ἐκεῖνος ἀνὴρ οὐκ ἴσχυσε τῶν αὐτῶν
τοῖς ἀρχομένοις τυχεῖν· ἀλλὰ μετὰ τοὺς πολλοὺς ἄθλους [27])
καὶ τὰς ταλαιπωρίας, μετὰ τὴν πλάνην ἐκείνην τὴν ἄφατον
καὶ τοὺς πολέμους καὶ τὰ τρόπαια, [28]) ἔξω τῆς γῆς ἀπέθνη-
σκεν, ὑπὲρ ἧς τοσαῦτα ἐμόχθησε· καὶ τὰ τοῦ πελάγους ὑπο-
μείνας κακὰ, τῶν τοῦ λιμένος οὐκ ἀπήλαυσεν ἀγαθῶν. Ὁρᾷς 357
ὡς οὐ τοῖς ἁρπάζουσι μόνον, ἀλλ' οὐδὲ τοῖς ἐκ τῆς ἑτέρων
σπουδῆς ἐπὶ τοῦτο ἐρχομένοις, λείπεταί τις, ἐν οἷς ἂν πταί-
σωσιν, ἀπολογία; Ὅπου γὰρ οἱ, τοῦ Θεοῦ χειροτονοῦντος,
παραιτησάμενοι πολλάκις, τοσαύτην ἔδωκαν δίκην, καὶ οὐδὲν
ἴσχυσεν ἐξελέσθαι τοῦ κινδύνου τούτου οὔτε τὸν Ἀαρὼν, οὔτε
τὸν Ἡλὶ, [29]) οὔτε τὸν μακάριον ἐκεῖνον [30]) ἄνδρα, τὸν ἅγιον,
τὸν προφήτην, τὸν θαυμαστὸν, τὸν πρᾶον μάλιστα πάντων
τῶν ἐπὶ γῆς, τὸν ὡς φίλον λαλοῦντα τῷ Θεῷ· σχολῇ γε ἡμῖν,
τοῖς τοσοῦτον ἀποδέουσι τῆς ἀρετῆς τῆς ἐκείνου, δυνήσεται
πρὸς ἀπολογίαν ἀρκέσαι τὸ συνειδέναι ἑαυτοῖς μηδὲν ὑπὲρ
ταύτης ἐσπουδακόσι [31]) τῆς ἀρχῆς· καὶ μάλιστα ὅτε πολλαὶ
τούτων τῶν χειροτονιῶν οὐκ ἀπὸ τῆς θείας γίγνονται χάρι-
τος, [32]) ἀλλὰ καὶ ἀπὸ τῆς τῶν ἀνθρώπων σπουδῆς. Τὸν 358

---

26) μέλλεις. Vet. int. *incipies*. Etiam Vulgatus interpres *N. T.* verbum μέλλω saepe verbo *incipio* reddit, reprehensus a *L. Valla* ad Act. 27, 10. [De re vid. Num. XI, 15. *L.*]

27) ἄθλους. Al. χρόνους.

28) τρόπαια, tropaea. Egerunt de hujus vocis significatu praeter Favorinum imprimis Schol. Aristoph. Plut. 453. et Eustath. ad Iliad. ε', p. 531. Cf. *Sturz*. Lex. Xenoph. T. IV, pag. 336. *L.*

29) οὔτε τὸν ἡλί. Vet. int. *nec Heli nec Saulem*.

30) ἐκεῖνον. Ἐκεῖνος, *ille*, frequens ad laudem. *Basilius Sel.* l. 2. de Thecla: *πολλοὺς ἄνδρας εἰς ἄκραν ἀρετὴν βιοῦντας ἡ μάρτυς ἀνηγόρευσεν, οἷον τὸν παῦλον εὐθὺς ἐκεῖνον τὸν καὶ ὄνια αἰγύπτιον καὶ ἐπίκλην αἰγύπτιον.*

31) ἐσπουδακόσι. Participium pro infinitivo.

32) χάριτος. Hic fons est vocationis. Rom. 1, 5. *Ad plenam vocationis divinitatem et vocantium et ipsius vocationis et vocati sanctitas, hujusque non solum facultates animi naturales, sed etiam charismata supernaturalia, sine quibus DEUS neminem mittit, pertinent.* Magnif. Cancell. *Pfaff.* diss. de Vitiis eorum qui *sacris* operantur, Sect. I. §. 9.

Ἰούδαν ὁ Θεὸς ἐξελέξατο; [33]) καὶ εἰς τὸν ἅγιον ἐκεῖνον κατέλεξε χορὸν, καὶ τὴν ἀποστολικὴν ἀξίαν μετὰ τῶν λοιπῶν ἐνεχείρισεν· ἔδωκε δέ τι καὶ τῶν ἄλλων πλέον αὐτῷ, τὴν τῶν χρημάτων οἰκονομίαν. [34]) Τί οὖν; ἐπειδὴ τούτοις ἀμφοτέροις ἐναντίως ἐχρήσατο· [35]) καὶ ὃν ἐπιστεύθη κηρύττειν, προὔδωκε· καὶ ἃ καλῶς διοικεῖν ἐνεχειρίσθη, ταῦτα ἀνήλωσε κακῶς, ἐξέφυγε τὴν τιμωρίαν; διὰ αὐτὸ μὲν οὖν τοῦτο καὶ χαλεπωτέ-
359 ραν ἑαυτῷ τὴν δίκην εἰργάσατο. καὶ μάλα γε εἰκότως. Οὐ γὰρ εἰς τὸ τῷ Θεῷ προσκρούειν δεῖ καταχεχρῆσθαι ταῖς παρὰ τοῦ Θεοῦ διδομέναις τιμαῖς, ἀλλ' εἰς τὸ μᾶλλον ἀρέσκειν αὐτῷ.
360 Ὁ δὲ, ἐπειδὴ πλέον τετίμηται, διὰ τοῦτο ἀξιῶν ἀποφυγεῖν, ἐν οἷς ἂν κολάζεσθαι δέῃ· παραπλήσιον ποιεῖ, ὥσπερ ἂν εἴ τις καὶ τῶν ἀπίστων Ἰουδαίων ἀκούσας τοῦ Χριστοῦ λέγοντος, [36]) ὅτι εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ, εἰ μὴ τὰ σημεῖα ἐποίουν ἐν αὐτοῖς, ἃ μηδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον· ἐγκαλοίη τῷ Σωτῆρι καὶ Εὐεργέτῃ, [37]) λέγων· τί γὰρ ἤρχου καὶ ἐλάλεις; τί δὲ ἐποίεις

---

33) ἐξελέξατο. Vid. Matth. III, 1—5. *L.*

34) οἰκονομίαν. Vid. Joh. XII, 6. *L.*

35) ἐχρήσατο. Alii, annotante *Montefalconio*, legunt ἀπεχρήσατο, quo tamen, quum praecedat adverbium ἐναντίως, non opus est. *L.*

36) λέγοντος. Evangel. Joh. XV, 20. *L.*

37) τῷ σωτῆρι καὶ εὐεργέτῃ. Frequenter veteres σωτῆρα, εὐεργέτην, σωτῆρα καὶ εὐεργέτην eum salutarunt, cui quam plurimum deberi profiterentur. Exempla collegit *Gatakerus* l. 1. Cinni c. 3. ex quo duo notamus. *Demosth.* c. Aesch. Or. pro cor. φίλον, εὐεργέτην, σωτῆρα τὸν φίλιππον ἡγοῦντο. Uticenses Catonem μιᾷ φωνῇ τὸν εὐεργέτην καὶ σωτῆρα καλοῦντας memorat *Plutarchus.* Accedant alia. *Idem* de Demetrio, [p. 893.] σωτῆρα καὶ εὐεργέτην ἀναγορεύοντες οἱ ἀθηναῖοι. *Polybius* de Antigono, οὐ μόνον ἐκρίθη παρ' αὐτὸν τὸν καιρὸν εὐεργέτης, ἀλλὰ καὶ μεταλλάξας σωτήρ. Apud *Herodianum*-Saturninus Severo insidias patefaciens: ἥκω σοι, ὦ δέσποτα, σωτήρ τε καὶ εὐεργέτης. *Themistius* Or. IV, οὗτος ἂν ὁ τέλειος νομίζοιτο καὶ ὁλόκληρος σωτήρ τε καὶ εὐργέτης. *Basilius Sel.* Or. XV, ἵνα μὴ μόνον τοῦ βασιλέως σωτὴρ ὁ δαβὶδ, ἀλλ' ἤδη καὶ τοῦ παντὸς ἰσραὴλ εὐεργέτης ἀναδειχθῇ. Verius Jesum, quem σωτῆρα unicum, eundem εὐεργέτην unicum praedicamus cum Chrysostomo aliisque patribus. In Graeco est ἓν διὰ δυοῖν· Latine tantisper reddidi, *Salvatore beneficentissimo:* sed plura videntur de interpretatione dici debere. εὐεργέτης ab iis, qui citatos auctores interpretati sunt, dicitur *benefactor*, *beneficii auctor*, *bene merens*, *beneficus.* De verbo σωτὴρ plus contenditur. Primum occurrit illud *Ciceronis:* C. Verrem *non solum* patronum *Siciliae, sed etiam* Sotera *inscriptum vidi Syracusis. Hoc quantum est? ita magnum, ut Latino uno verbo exprimi non possit. is est* [*nimirum* Soter] qui

σημεῖα, ἵνα μείζονας ἡμᾶς κολάσῃς; Ἀλλὰ μανίας τὰ ῥή- 361
ματα ταῦτα, καὶ τῆς ἐσχάτης παραπληξίας. 38) ὁ γὰρ ἰατρὸς

---

salutem dedit. Quem ad locum ipse *P. Manutius* haec commentatur: Soter *Graecum nomen esse, et eum significare, qui* salutem *dedit, ipso constat interprete Cicerone: quo patet communis error eorum, qui Jesum Christum, cujus immortalia merita nullo satis uno verbo exprimi Latine queunt*, Servatorem *appellant. aliud enim est* servare, *aliud* salutem dare. servat *is, qui, ne* salus *amittatur, aliqua ratione praestat:* salutem dat, *qui amissam restituit. Quod si* servator *non est* Soter, *quia minus valet;* salvator *autem ut inusitatum Cicero vitavit, maluitque dicere,* qui salutem dedit: *nimirum de eo si loquimur, qui afflictum genus humanum non in eodem statu* servavit, *sed a sempiterno interitu ad perpetuae vitae bona perduxit, quod summi Dei Filius et fecit, et facere solus potuit: necesse est, vel* Salvatorem *appellare, quod* σωτὴρ *Graece dicitur, usurpato in re nova novo verbo, quod veteres quoque probarunt, vel Ciceronis exemplo uti circumscriptione, et dicere,* Is qui salutem dedit. *quamquam circumscriptio, ut interdum non commoda solum, verum etiam necessaria videtur, sic, iterata saepius, et dignitatem amittit et satietatem parit.* Hic recte statuit Manutius, et *auctorem salutis* nostrae posse per periphrasin appellari, et tamen saepius uno esse verbo appellandum. nam etiam apostolus eum semel appellat αἴτιον σωτηρίας, Hebr. V, 9. saepissime vero σωτῆρα. Cui nomini cum quaeritur quodnam unum optime respondeat Latinum: ita rem tractabimus, ut ne exitus careat fructu. Mirum potuit pridem videri, cur ipsum nomen *Soter* primis seculis, non una cum vocabulis Graecis *angelus*, *baptista*, *brabeum*, *ecclesia*, *Paracletus*, aliisque innumeris fuerit Latina civitate donatum, praesertim cum Latine dixerint *soteria:* cujus rei hanc videmur animadvertisse caussam, quod Valentiniani usum vocabuli *Soter*, ut ex Tertulliano constat, occupassent. quae caussa nil impedit, quo minus hodie *Sotera* dicamus: neque tamen Latina verba manere non debent. Idem Tertullianus *Salutificatorem* solitus est dicere: cujus scripta id quatuor habent locis, totidem dicta *Pauli* περὶ τοῦ σωτῆρος interpretantibus. *Sospitatoris* nomen Grotius probat; quod idem atque σωτὴρ etymon habeat. Interdum *Salus*, in abstracto, dici potest. Nonnullis fortasse *Liberatoris*, vel *Vindicis*, appellatio aptior videatur: quae et solennis olim fuerit, et miseriam, ex qua fit liberatio, innuat. Hoc Dialogi loco vetus interpres posuit *Salvator;* recentiores, *Servator.* atque haec duo sola sunt pridem perpetuo usu recepta in orbe Christiano vocabula: sed ita, ut vix ullus utrumque juxta probet. Abeunt enim in duas quasi partes Christiani scriptores: quorum alteri, quum *Servatorem* dicunt, Latinitati videntur consulere; alteri, quum *Salvatorem*, religioni. Vide, quae in hanc sententiam collecta et disputata sunt a *Cl. Dausqueio* in Notis ad Basilii Seleuciensis orationem XII et XXXII et, ex Dausqueio potissimum, in Thesauris *Fabri* et *Suiceri:* et adde *B. Meisneri* Christolog. Disp. VI. *Dannhaueri* Hodosoph. p. 600. *Jac. Pontani* Bellar. P. II. Synt. 10. c. 1. *E. Leigh.* Crit. N. T. *Cyr. Güntheri* Latin. restit. ceterosque ab his laudatos. Nos quoque in interpretatione nostra *Salvatorem* tantisper dicere maluimus, dum probaremus, nec *Salvatoris* nomen a Latinitate nimis esse alienum, nec *Servatorem*, quod Dausqueius inprimis *pertendit, male* appellari *et inique.* De efficacia vocabuli *Salvator* nemo dubitat: nec dubitaturus fuit Tullius, si olim fuisset usitatum.

οὐχ ἵνα σὲ [39]) κατακρίνῃ· μᾶλλον, ἦλθε θεραπεύσων, ἀλλ' ἵνα ἀπαλλάξῃ τῆς νόσου τέλεον. σὺ δὲ σαυτὸν ἑκὼν ἀπεστέ-

---

nam non fuisse, vel locus ex Adelphis Terentii mox producendus arguit: neque adjuvat Plinius, quem *Salvatorius* dixisse notat Ol. Borrichius; vera enim lectio est *salutatorius*. Auctoritatem tamen satis antiquam a primis Christianis habet; et, si nullam haberet, dignus erat *salutis* nostrae *dux*, cujus honori verbum signaretur monetae novae. habent autem *Salvator* Inscriptiones et Glossae veteres, et Tertullianus, Lactantius aliique, ut non debeamus hoc vocabulo abstinere hodie, praesertim cum in aliis non nimium lauti simus. Nervose *Isid. Hispal.* l. 7. Orig. *Verbum* Salvator *Latina lingua antea non habebat, sed habere poterat; sicut potuit, quando voluit.* Venio ad alterum vocabulum. Plerique ita statuunt: *Salvatorem* is habet, qui ex perdito salvus redditur: *servatorem* is, qui salvus manet. Respondemus, et Graecum verbum unum, et Latinum utrumvis, modo hac modo illa notione accipi: quippe nullum malum, cui datorem salutis quemcunque mederi oporteat, non habet hoc, ut quoquo modo ex una parte *premat,* idemque ex altera parte *impendeat.* *Salvare* pro eo, quod illi *servare* dicunt, exstat in Inscriptione, Antonini principatu expressa: *O tempora infausta, quibus inter sacra et vota ne in cavernis quidem* salvari *possimus.* et in illa celebri: *Jovi custodi, Quirino* Salvatori, *pro* salute *Caesaris Nervae Traiani Aug. Col. Sarmiz.* Lactantius: *quis ob justitiam meruerit, genere humano (in cataclysmo) pereunte*, salvari. Sic *salvus*, pro *illaeso*, passim. vid. Cic. ep. fam. ed. nostr. p. 946. Vicissim *servare* pro eo, quod illi *salvare* dicunt, dixit Terentius in Hecyra Act. V. scen. 4. ubi adolescens, *ab orco* mortuum se reducem in lucem factum, et ex maxima *miseria* extractum triumphans, *servatricem* suam salutat Bacchidem. Plane quod Romanis in nomine valuit *salus* et *Salvus*, id in verbo valuit *servo*, unde *servator*: suntque haec themata instar unius, ita ut altero suppleatur defectus alterius. Idem Comicus in Adelphis: *Ipsa si cupiat* Salus, servare *prorsus hanc familiam non potest.* idem volebat dicere, quod Plautus: *Nec* salus saluti *jam esse, si cupiat, potest.* Congruitque etymon ipsum. nam ex ῥύω, *libero, eruo*, est ἐρύω, ut Eustathius tradit; ex ἐρύω est *servo*, ut Martinius docet: quamquam ne Perottus quidem obest, qui *servo* derivat a *sero*, id est *assero*, *libero.* Itaque quem Graeci σωτῆρα, eum Romani constanter dixere *Servatorem.* ζεὺς σωτὴρ *Jupiter Servator* dictus, et *Jupiter Conservator*, ut inprimis Gyraldus Syntagmate II. confirmat: quem *Jovem Custodem* et *Jovem Liberatorem* finxerant. Tacitus Annal. lib. XV. cap. 71. de liberto quodam, conjurationis indice in Neronem: *Conservatoris sibi nomen Graeco ejus rei vocabulo assumpsit.* scilicet σωτῆρα se appellarat index: quod cujus rei vocabulum est lucrifacienti Graecum Historico, nisi *conservator?* quid *conservator*, nisi *servator?* praeterquam quod simplex verbum uni adscribit beneficium; praepositio addita, pluribus. Et quum se ipse Tullius *reip. servatorem*, quum se *reip. conservatorem* dixit, nonne σωτῆρα se dixit? alioqui honoris sui causa, perinde ut laedendi Verris, potuit, qua erat auctoritate, saltem ad Quintum fratrem aut ad Atticum scribens; potuere in diis suis cognominandis Romani, aut Graecum, si significantius esse putassent, adoptare, aut novum Latinum, quo Graecum exprimeretur, fingere. quid? ne pro verbo quidem *servare* et pro participio *servatus*, de ullo alio, quod vim haberet majorem, labo-

ρησας τῶν ἐκείνου χειρῶν. δέχου τοίνυν χαλεπωτέραν τὴν τιμωρίαν. Ὥσπερ γὰρ εἰ εἶξας τῇ θεραπείᾳ, καὶ τῶν προτέ-

ravere. At negat ipse, inquiunt, Tullius, verbum σωτὴρ Latino uno exprimi posse: quem verbum *Servator* minime fugiebat. Negat id quidem: sed nescio an magis ex animo, quam in Antonio postea reprehendit *piissimus* et *contumeliam facere*. cur autem negat? per ironiam: primum, ut invidiam concitet reo, qui in inscriptione ista verbo uti maluerit inter Siculos populari, quam Latino. nam de industria ita definit *Sotera*, ut definiat *Servatorem*, qui proprie, in bello, *salutem dare* capto dicitur. Sic fere lib. XI. ad Att. Ep. 14. *non quo ab isto* salus data *quidquam habitura sit firmitudinis*. accedit aculeus: *Soter est is*, *qui salutem dedit*, scilicet cum posset malum dare, ut Verres, qui nil non mali pro salute dedit. Ceteroqui enim *is*, *qui salutem dedit*, neque *sotera* neque *servatorem* aeque exprimit, atque *is*, *qui saluti fuit*. respice exempla ineunte hac annotatione posita. Denique verbum illud tenuius *Patronus*, in Verrina, a *Servatore* nihilo propius abest, quam a *Sotere*. Porro ne Tertullianus quidem, cum Sotera Christianorum dixit *Salutificatorem*, *Servatoris* vocabulum censendus est indignum judicasse. Cur non usurpavit Tertullianus *Salvatoris* nomen? (inquit Borrichius, a Vossio abductus, intento videlicet alteri appellationi, qua Afer ille saepius uti supra dictus est: nos dicimus, cur non legimus apud illum *Servatoris* nomen? et a Borrichio respondemus:) *quia ingenium magni Afri vocabulis innovandis*, *quam antiquis retinendis accommodatius fuit*. Sed fac, non semper, cum σωτὴρ dicitur, *Servatorem* dici posse: potest tamen plerumque, vel ea notione: de qua nil est controversiae. Perditi fuimus, sed ita ut etiamnum perire possemus (uti certe perditi per peccatum, per ἀπιστίαν se perdunt) id prohibuit et prohibet Soter, Joh. III. 16. ergo Servator est. Quicquid Pater ei dedit, ex eo nil amittit: Joh. VI. 39. coll. omnino XVII. 12. ergo *Servator* est. Efficit, ne, postquam justificati sumus, iram persentiscamus: Rom. V, 9. ergo *Servator* est. Est σωτὴρ fidelium maxime: 1. Tim. IV. 10. id est, eos, quos *salvavit*, *servat* et *servabit*. Quare non est claudenda verborum gloriae Christi inservientium copia: neque ulli eorum a nobis aut adspergendum fastidium aut significatio deterenda. Rectius et *Salvatoris* et *Servatoris*, atque adeo *Soteris* appellationem Christianus quivis sine offensione leget ac scribet. Atque ut ad locum redeamus, hic nos *Servatore beneficentissimo* interpretatos velim jam existimes. nam *Servatoris* titulus medicis peculiariter datur, ut Barthius ad Statium notavit; Chrysostomus autem ut medicum hoc loco §. 361. laudat Dominum: perinde ut Eusebius lib. IV. Demonstrat. Evang. καθὸ ψυχῶν ἐμπαθῶν θεραπείαν ἐπαγγέλλεται, ΣΩΤΗΡ ΚΑΙ ΙΑΤΡΟΣ εἰκότως ἂν λέγοιτο. Hujus nomen celebretur in sempiternum! [Nolui quid addere iis, quae copiose quidem, sed docte et pie disputavit de his vocabulis b. *Bengel*. Plura etiam qui legere cupiat, adeat amicissimi *Heinichenii* Excurs. X. in Euseb. H. E. T. III, p. 409. *L.*]

38) παραπληξίας, insaniae. Apta metaphora, collatis iis, quae sequuntur, ab aegroto. §. 69. [παραπλὴξ explicatur ab Hesychio per παράφρων, τὰς φρένας βεβλαμμένος, μανιώδης et παραπληξία est eidem Hesychio et Suidae id. q. μανία. *L.*]

39) σέ. Hoc pronomen *simpliciter acceptum*, *semper* ἐγκλίνεται· *sin emphasin aut oppositionem denotare opus sit*, *proprium accentum retinet*, *verboque plerumque proxime praeponitur*. Deva-

ρων ἂν ἀπηλλάγης κακῶν· οὕτως ἐπειδὴ παραγενόμενον ἰδὼν
ἔφυγες, οὐκ ἔτι ἀπονίψασθαι ταῦτα δυνήσῃ· μὴ δυνάμενος δὲ,
καὶ τούτων δώσεις τὴν τιμωρίαν, καὶ ἀνθ᾽ ὧν αὐτῷ ματαίαν
362 τὴν σπουδὴν ἐποίησας, τόγε μέρος τὸ σόν. Διὰ ταῦτα οὐκ
ἴσην πρὸ τοῦ τιμηθῆναι παρὰ τοῦ Θεοῦ καὶ μετὰ τὰς τιμὰς
τὴν βάσανον ὑπομένομεν, ἀλλὰ πολλῷ σφοδροτέραν ὕστερον.
ὁ γὰρ μηδὲ τῷ παθεῖν εὖ 40) γενόμενος ἀγαθὸς, πικρότερον
363 δίκαιος ἂν εἴη κολάζεσθαι. Ἐπεὶ οὖν ἀσθενὴς ἡμῖν αὕτη ἡ
ἀπολογία δέδεικται, καὶ οὐ μόνον οὐ σώζει τοὺς εἰς αὐτὴν
καταφεύγοντας, ἀλλὰ καὶ προδίδωσι πλέον, ἑτέραν ἡμῖν πο-
364 ριστέον ἀσφάλειαν. ΒΑΣ. Ποίαν δὴ ταύτην; ὡς 41) ἔγωγε
οὐδὲ ἐν ἐμαυτῷ δύναμαι εἶναι νῦν· οὕτω με ἔμφοβον καὶ ἔν-
τρομον τοῖς ῥήμασι κατέστησας τούτοις.

365 11. Μὴ, δέομαι, ἔφην, καὶ ἀντιβολῶ, μὴ τοσοῦτον κα-
ταβάλῃς σαυτόν. 1) Ἔστι γὰρ, ἔστιν ἀσφάλεια. τοῖς μὲν ἀσθε-
νέσιν ἡμῖν, τὸ μηδέποτε ἐμπεσεῖν· ὑμῖν δὲ τοῖς ἰσχυροῖς, τὸ
τὰς ἐλπίδας τῆς σωτηρίας εἰς ἕτερον μὲν ἀνηρτῆσθαι μηδὲν,
μετὰ 2) δὲ τὴν τοῦ Θεοῦ χάριν 3) εἰς τὸ μηδὲν ἀνάξιον πράτ-

---

rius in Particula *Ἐμοί*. Porro hunc locum ex Palatino, solo fortasse, recentiores sic constituerunt: *οὐχ ἵνα σὲ κατακρίνῃ ἦλθεν, ἀλλὰ μᾶλλον θεραπεύσων, οὐχ ἵνα σε νοσοῦντα παρίδῃ, ἀλλ᾽ ἵνα σε ἀπαλλάξῃ τῆς νόσου τέλεον.* Morel. *οὐχ ἵνα σὲ κατακρίνῃ, μᾶλλον ἦλθε θεραπεύσων· οὐχ ἵνα κλ.* Nostram lectionem comprobat Augustanus liber, editio prima, et vetus interpres. Estque illustre testimonium contra abusum distinctionis inter Voluntatem signi et beneplaciti. [*Hasselbach.* *σὲ* repetit ante *ἀπαλλάξῃ.* Non inepte. *L.*]

40) *παθεῖν εὖ.* *Εὖ* pulchre dicitur cum activo, *εὖ ποιεῖν.* §. 298. cum passivo, *εὖ πάσχειν.* §. 154. cum medio, *εὖ φέρεσθαι.* Gall. *je me porte bien.* Emendetur *Basilii Sel.* locus insignis, Or. 19. ubi centurio ait: *οὐκ εἰμὶ ἱκανός. πηγὴ πενιχρὰ, πελάγους πλοῦτον οὐχ ὑποδέχεται. μή μου πλέον ἐλέγξῃς τὸ τῶν τρόπων ἀνάξιον. οὐ φέρομαι* (legas, *εὖ φέρομαι*) *τοῖς ῥήμασι· φθέγξαι μόνον, καὶ τὸ πάθος ἐλαύνεται.* Etiam alias *εὖ* usum habet. *εὖ ἴστω. εὖ καὶ καλῶς.* §. 323. 386.

41) *ὧς.* Pro *οὕτως.*

1) *μὴ τοσοῦτον καταβάλῃς σαυτόν.* ***Ne ita animum despondeas, sei nicht so niedergeschlagen. L.***

2) *εἰς ἕτερον μὲν μηδὲν, μετὰ δέ.* Sic Augustanus. eaedem particulae. §. 187. 412. *μετὰ*, ***secundum***. Germ. ***nächst.*** [Ita praepositio *μετὰ* jam apud Homerum occurrit, v. c. Iliad. II, 674. *κάλλιστος ἀνὴρ τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλείωνα*, ***nächst dem Achill.*** Xenoph. Cyropaed. VII, 2, 4. *πόλιν τὴν πλουσιωτάτην ἐν τῇ Ἀσίᾳ μετὰ Βαβυλῶνα. L.*]

3) *χάριν.* *Πάντα ὑπακούσεται τῷ χρυσίῳ, φησίν· καὶ τῇ χάριτι τὰ νοητὰ διοικηθήσεται.* ***Marcus*** de lege spir.

τειν τῆς δωρεᾶς ταύτης καὶ τοῦ δεδωκότος αὐτὴν Θεοῦ. Με- 366
γίστης μὲν γὰρ ἂν εἶεν κολάσεως ἄξιοι, οἱ μετὰ τὸ δι᾽ οἰκείας
σπουδῆς ταύτης ἐπιτυχεῖν τῆς ἀρχῆς, ἢ διὰ ῥαθυμίαν ἢ διὰ
πονηρίαν ἢ καὶ δι᾽ ἀπειρίαν κακῶς κεχρημένοι τῷ πράγματι·
οὐ μὴν[4]) διὰ τοῦτο τοῖς οὐκ ἐσπουδακόσι καταλέλειπταί τις
συγγνώμη, ἀλλὰ καὶ οὗτοι πάσης ἀπολογίας ἐστέρηνται. Δεῖ 367
γὰρ, οἶμαι, κἂν μυρίοι καλῶσι καὶ καταναγκάζωσι, μὴ πρὸς
ἐκείνους ὁρᾷν· ἀλλὰ πρότερον τὴν ἑαυτοῦ βασανίσαντα ψυ-
χὴν, καὶ πάντα διερευνησάμενον ἀκριβῶς, οὕτως εἶξαι τοῖς βια-
ζομένοις. Νῦν δὲ οἰκίαν μὲν οἰκοδομήσασθαι οὐδεὶς ἂν ὑπο- 368
σχέσθαι τολμήσειε τῶν οὐκ ὄντων οἰκοδομικῶν· οὐδὲ σωμά-
των ἅψασθαι νενοσηκότων ἐπιχειρήσειεν ἄν τις τῶν ἰατρεύειν
οὐκ εἰδότων· ἀλλὰ κἂν πολλοὶ οἱ πρὸς βίαν ὠθοῦντες ὦσιν,
παραιτήσεται, καὶ οὐκ ἐρυθριάσει τὴν ἄγνοιαν. Ψυχῶν δὲ
ἐπιμέλειαν μέλλων ἐμπιστεύεσθαι τοσούτων, οὐκ ἐξετάσει πρό-
τερον ἑαυτόν· ἀλλὰ κἂν ἁπάντων ἀπειρότατος ᾖ, δέξεται τὴν
διακονίαν, ἐπειδὴ ὁ δεῖνα κελεύει, καὶ ὁ δεῖνα βιάζεται, καὶ
ἵνα μὴ προσκρούσῃ τῷ δεῖνι; Καὶ πῶς οὐκ εἰς προὖπτον ἑαυ- 369
τὸν μετ᾽ ἐκείνων ἐμβαλεῖ κακόν; ἐξὸν[5]) γὰρ αὐτῷ σώζεσθαι
καθ᾽ ἑαυτὸν, καὶ ἑτέρους προσαπόλλυσι μεθ᾽ ἑαυτοῦ. Πό-
θεν γὰρ ἔστιν ἐλπίσαι σωτηρίαν; πόθεν συγγνώμης τυχεῖν; τί-
νες ἡμᾶς ἐξαιτήσονται[6]) τότε; οἱ βιαζόμενοι νῦν ἴσως καὶ
πρὸς ἀνάγκην ἕλκοντες; αὐτοὺς δὲ τούτους τίς κατ᾽ ἐκεῖνον
διασώσει τὸν καιρόν; καὶ γὰρ καὶ αὐτοὶ προσδέονται ἑτέρων,
ἵνα διαφύγωσι τὸ πῦρ. Ὅτι δὲ σὲ οὐ δεδιττόμενος[7]) ταῦτα 370
λέγω νῦν, ἀλλ᾽ ὡς ἔχει τὸ πρᾶγμα ἀληθείας,[8]) ἄκουε τί τῷ

---

4) *οὐ μήν.* Sic §. 537. *καὶ μὴν οὐδὲ*, §. 17.

5) *ἐξόν.* Hesychius, *ἔξεστι, δυνατόν.*

6) *τίνες ἡμᾶς ἐξαιτήσονται.* Augustanus, *τίνες ἡμᾶς παραιτήσονται·* unde vetus int. *excusare.* Placet haec media lectio: unde orta et vulgata, *τίνες ἡμᾶς ἐξαιτήσονται*, per glossam; et aliorum, *τίνες ἡμῖν παραστήσονται.*

7) *δεδιττόμενος.* De verbo *δεδίττομαι*, quod est *terrorem injicere*, vid. **Heinichen** ad Euseb. H. E. VIII, 4, 6. et **Passow** in Lexico s. v. *δειδίσσομαι. L.*

8) *ἔχει ἀληθείας.* *Elegantissime. nam ita passim legimus*, *πῶς ἔχω γνώμης, ὡς ἔχω ῥώμης, ὡς ἔχω συνέσεως.* *Sic* Thucyd. *ὡς εἶχε τάχους ἕκαστος*, pro cujusque celeritate. et Plutarch. *in Camillo*, *ὡς ἕκαστος ἑτοιμότητος ἢ βουλήσεως ἔσχε*, ut quisque paratus aut animatus fuit. *Cant. ed. II.* [Non igitur opus erat mutatione *Boisii*, qui *ἐπὶ* inserendum putabat, ut esset *ἐπ᾽ ἀληθείας.* Imo ille genitivus resolvendus est per nostrum: *in Ansehung.* Vid. *Mat-*

μαθητῇ φησιν ὁ μακάριος Παῦλος [9]) Τιμοθέῳ, τῷ γνησίῳ
τέκνῳ καὶ ἀγαπητῷ. Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ
371 κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. Εἶδες ὅσης τοὺς μέλλοντας
ἡμᾶς ἐπὶ τοῦτο παράγειν, οὐ μέμψεως μόνον, ἀλλὰ καὶ τιμω-
372 ρίας, τόγε ἡμέτερον ἀπηλλάξαμεν μέρος; Ὥσπερ γὰρ τοῖς αἱ-
ρεθεῖσιν οὐκ αὔταρκες πρὸς ἀπολογίαν, τὸ λέγειν, οὐκ αὐτό-
κλητος ἦλθον, οὐδὲ προειδὼς οὐκ ἀπέφυγον· οὕτως οὐδὲ τοὺς
χειροτονοῦντας ὠφελῆσαί τι δύναται, εἰ λέγοιεν τὸν χειροτονη-
373 θέντα ἀγνοεῖν. ἀλλὰ διὰ τοῦτο καὶ μεῖζον τὸ ἔγκλημα γίνε-
ται, ὅτι ὃν ἠγνόουν παρήγαγον· καὶ ἡ δοκοῦσα εἶναι ἀπολο-
374 γία αὔξει τὴν κατηγορίαν. Πῶς γὰρ οὐκ ἄτοπον, ἀνδράπο-
δον μὲν πρίασθαι βουλομένους καὶ ἰατροῖς ἐπιδεικνύναι, καὶ
τῆς πράσεως ἐγγυητὰς ἀπαιτεῖν, [10]) καὶ γειτόνων πυνθάνεσθαι,
καὶ μετὰ ταῦτα πάντα μηδέπω θαῤῥεῖν, ἀλλὰ καὶ χρόνον πο-
λὺν πρὸς δοκιμασίαν αἰτεῖν· εἰς δὲ τοσαύτην λειτουργίαν μέλ-
λοντάς τινα ἐγγράφειν, ἁπλῶς καὶ ὡς ἔτυχεν, ἂν τῷ δεῖνι
δόξῃ πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἑτέρων μαρτυρῆσαι, ἐγκρί-
375 νειν, μηδεμίαν ποιουμένους ἑτέραν ἐξέτασιν; τίς οὖν ἡμᾶς ἐξαι-
τήσεται [11]) τότε, τῶν ὀφειλόντων προστῆναι καὶ αὐτῶν προ-
376 στατῶν δεομένων; Δεῖ μὲν οὖν καὶ τὸν χειροτονεῖν μέλλοντα,
πολλὴν ποιεῖσθαι τὴν ἔρευναν· πολλῷ δὲ πλείονα τούτου τὸν
377 χειροτονούμενον. Εἰ γὰρ καὶ κοινωνοὺς ἔχει τῆς κολάσεως τοὺς
ἑλομένους, ἐν οἷς ἂν ἁμάρτῃ· ἀλλ' ὅμως οὐδὲ αὐτὸς ἀπηλ-

---

thiae. Gr. Gr. p. 432. et **Passow** in Lex. Cf. ***Valckenar.*** ad Herodot. VI, 116. et Thom. Mag. p. 401. Cyrop. VII, 5, 19. οὕτω τρόπου ἔχεις. *L.*]

9) Παῦλος. Ambrosius: *Non nostra contra episcopos, sed sancti apostoli opposuimus testimonia, ne velut vulgaribus fabulis nostrum irriderent opus.* de Dign. sac. c. 5. [Locus Paulinus legitur 1. Tim. V, 22. *L.*]

10) καὶ τῆς πράσεως — ἀπαιτεῖν, „*man fordert Bürgen, die für den Kauf gut sind.*" ***Cramerus.*** Cf. Xenoph. Hist. Gr. I, 7, 12. VII, 2, 17. Cyrop. VI, 2, 11. Est igitur ἐγγυητής id. q. ἔγγυος. Moeris: ἔγγυον, Ἀττικῶς· ἐγγυητήν, Ἑλληνικῶς. *L.*

11) ἐξαιτήσεται. Alii, ἐξαιρήσεται. *Montef.* Vet. int. *auxilio erit.* Idem verbum, §. 385. eadem de re. [Verbum nempe ἐξαιτεῖσθαι in Medio est: *precibus salutem alicujus impetrare*, et usurpatur v. c. de servis, qui aliorum precibus libertatem nanciscuntur. Dicitur tamen etiam in malam partem. Xenoph. Anabas. I, 1, 3. Συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν. ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει. Cf. Chrysost. T. I, p. 336 D. ***Wetsten.*** ad Luc. Evang. XXII, 31., ubi tamen est h. v. *sibi poscere.* et ***Matthaei*** l. l. Homil. III, not. 230. T. II, pag. 62. *L.*]

λάκται τῆς τιμωρίας, ἀλλὰ καὶ μείζονα δώσει· μόνον εἰ μὴ 378
διά τινα ἀνθρωπίνην αἰτίαν, παρὰ τὸ φανὲν αὐτοῖς εὔλογον
ἔπραξαν οἱ ἑλόμενοι.[12] Εἰ γὰρ ἐν τούτῳ φωραθεῖεν,[13] καὶ
τὸν ἀνάξιον εἰδότες, διά τινα πρόφασιν αὐτὸν παρήγαγον· ἐξ
ἴσης τὰ τῶν κολαστηρίων αὐτοῖς, τάχα καὶ μείζονα τοῖς τὸν
οὐκ ἐπιτήδειον καταστήσασιν. ὁ γὰρ τὴν ἐξουσίαν παρασχὼν
τῷ βουλομένῳ διαφθεῖραι τὴν ἐκκλησίαν, αὐτὸς ἂν εἴη τῶν
ὑπ᾽ ἐκείνου τολμηθέντων αἴτιος. Εἰ δὲ τούτων μὲν οὐδενὶ γέ- 379
νοιτο ὑπεύθυνος,[14] ἀπὸ δὲ τῆς τῶν πολλῶν ὑπολήψεως ἠπατῆσθαι λέγοι· ἀτιμώρητος μὲν οὐδὲ οὕτω μένει, ὀλίγῳ δὲ ἐλάττονα τοῦ χειροτονηθέντος δίδωσι δίκην. Τί δήποτε; ὅτι τοὺς μὲν ἑλομένους εἰκὸς ὑπὸ δόξης ψευδοῦς ἀπατηθέντας, ἐπὶ τοῦτο ἐλθεῖν· ὁ δὲ αἱρεθεὶς οὐκ ἔτ᾽ ἂν δύναιτο λέγειν, ὅτι ἠγνόουν ἐμαυτὸν, καθάπερ αὐτὸν ἕτεροι. Ὡς οὖν βαρύτερον μέλλοντα κολάζεσθαι τῶν παραγαγόντων, οὕτως ἀκριβέστερον αὐτῶν χρὴ ποιεῖσθαι τὴν ἑαυτοῦ δοκιμασίαν, κἂν[15] ἀγνοοῦντες ἕλκωσιν ἐκεῖνοι, προσιόντα διδάσκειν ἀκριβῶς τὰς αἰτίας, δι᾽ ὧν ἠπατημένους παύσει, καὶ ἀνάξιον ἑαυτὸν τῆς δοκιμασίας[16] ἀποδείξας ἐκφεύξεται τοσούτων πραγμάτων

---

12) *οἱ ἑλόμενοι.* Sensus: *Majorem etiam poenam dabit; nisi si homines illi, qui eum elegerant, rem confecerint causa quadam humana ducti, ipsorum adeo reclamante et honestiora suadente conscientia, cui tamen obedientiam non praestiterunt.* Pro εὔλογον, quod habet *Savilius*, *Morellius* legit εὔκολον. *L.*

13) *φωραθεῖεν.* Φωραθεὶς, Lex. Cyrill. Ms. Brem. explicat per εὑρεθεὶς, καταληφθείς. Hesychius: φωραθείς· εὑρεθεὶς, φανείς. Suidas: φωραθείς· εὑρεθεὶς, γνωσθείς. Πάμφιλος δανειστὴς παρὰ Ἀριστοφάνει (Plut. 19.) ὡς φωραθεὶς ἐπ᾽ αὐτοφώρῳ κατελύθη. Cf. Aelian. V. H. I, 34. fin. 3. Maccabb. III, 29. οὗ ἐὰν φωραθῇ τὸ σύνολον σκεπαζόμενος Ἰουδαῖος. *L.*

14) *ὑπεύθυνος.* Construitur h. l. cum tertio casu, ut apud Lycurg. adv. Leocrat. cap. XXXII, §. 7. Proverbb. I, 23. ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις. Cf. Chrysost. T. III, pag. 375 A. In eadem pagina construitur vero etiam cum genitivo. Cf. Demosth. p. 293. ἀγνοίας ὑπεύθυνος. Qui proprie sint ὑπεύθυνοι, bene exposuit Suidas: οἱ μήπω λογισμοὺς παρεσχηκότες, μηδὲ εὐθύνας τῆς ἀρχῆς (muneris publici, quod administrarunt.) ἧς ἐπιστεύθησαν. Hesychius: ὑπεύθυνος· ἔνοχος, ὑποκείμενος. *L.*

15) *κἄν.* *Ex καὶ et ἂν constat: estque formalis nota, qua ἂν modo in sua significatione, modo pro ἐὰν conditionali accipitur. Quando itaque in sua significatione manent, tunc vox κἂν vehementiore spiritu profertur: cum vero ἂν pro ἐὰν accipitur, remisso spiritu profertur.* Devarius. Hic valet καὶ ἐὰν, καὶ ἂν mox §. 380. nec non §. 185.

16) *δοκιμασίας.* Plane leg. διακονίας. vet. int. *munere.* Non alienum fuerit hoc loco sonticam corruptarum lectionum causam ex-

380 ὄγκον. *Διὰ τί γὰρ περὶ στρατείας καὶ ἐμπορίας* [17]) *καὶ γεωργίας καὶ τῶν ἄλλων τῶν βιωτικῶν* [18]) *βουλῆς προκειμένης,*

---

plicare. Plerunque ubi lapsus accidit in scribendo, offendiculum in medio est: hoc offendiculum fere semper est in ipso contextu, quum librarius non tam in ea, quae scribenda erant, intentus, quam in ea, quae minore, interdum etiam majore intervallo praecedunt aut subsequuntur, incurrens, horum aliquid arripit. Adolescentiam instituo: literas ipse tero: paroramata multa dispungo: jam pridem ad hanc offensionum causam attendo. ausim dicere, ea dimidiam partem variarum lectionum in omni scriptorum genere, atque in ipsis N. T. libris (quo nomine copiosior sum in hac re) contineri. Quae res si diligentius attendatur, dici non potest, quantum adjumenti ad eximendas dubitationes allatura sit. De supervacuis repetitionibus hinc natis nil dubium est; de noxiis omissionibus conqueruntur omnes: sed et commutationes plerasque haec causa dedit, ut vox aliqua ejusve initium, medium, finis, per alliterationem aut parechesin mutaretur in sonum verbi praevii vel sequentis. ex. gr. Apud *Herodianum* hodie sic scribitur, οὓς ἠθέλησαν μερίσαι τὴν ἀρχὴν, ὡς μὴ πάλιν ἰοῦσαν ἐξουσίαν εἰς τυραννίδα πάλιν ἐξοκείλῃ. l. 7. c. 10. leg. παρ' ἑνὶ οὖσαν aut simile quidpiam: πάλιν irrepsit, quia πάλιν sequitur. Sic *Basilius Sel.* Or. VI. sine dubio dixit: τὰς δὲ τῆς κρίσεως ἀφορμὰς ὁ τῆς φύσεως δεσπότης τῷ νῶε παρατιθέμενος ἔλεγεν· εἴσελθε εἰς τὴν κιβωτόν. at loco κρίσεως obrepsit φύσεως, quod mox sequitur. Sed hic ipse dialogus exempla, vix quaerenti, praebuit quamplurima. Ex προστῆναι, quod meliores libri habent, in deterioribus factum est φροντίζειν, quia praecedit φροντίδας. Ex τοῦ δοθέντος, §. 72. τὸ δοθὲν, praevio τὸ δοθέν. Ex μάχῃ, §. 97. πάλῃ, sequente πάλῃ. Ex ἔδομεν, §. 130. ἐδώκαμεν, seq. ἐδόκει. Ex λήθης, §. 144. ἀληθείας, praevio τ' ἀληθές. Ex δεξαμένων, §. 159. ἀναδεξαμένων, praec. ἄν. Ex πιστεῦσαι, §. 168. ὑποπτεῦσαι, praec. ὑποπτεῦσαι. Ex πραγμάτων, §. 175. ταγμάτων, praevio τάξιν. Ex κεφαλῆς, §. 188. σαρκὸς, seq. σαρκός. Ex ἐπήνεσα, §. 206. ἐπήνεσάν, seq. ἄν. Ex πνευμάτων, §. 211. κυμάτων, seq. κύματα. Ex δέῃ, §. 252. δέον, seq. κακόν. Ex διακονίαν, §. 310. οἰκονομίαν, praec. οἰκονομικόν. Ex ἀφορμὰς, §. 322. προφάσεις, praevio προφάσεις. Ex λοιποὶ, §. 330. πολλοὶ, praec. πολλῶν. Ex σφοδροτέραν, §. 362. σφοδρότερον, seq. ὕστερον. Ex σφάττωσι, §. 402. κατασφάττωσι, seq. καταλέγειν. Ex οὖν, §. 407. δὲ, praevio δέ. Ex βούλομαι, §. 417. δύναμαι, seq. δυσχερές. Ex τελείαν, §. 441. ἀλλήλων, praec. ἀλλήλων. Ex ἀπελθεῖν, §. 478. ἐπανελθεῖν, praec. ἐπαινεθέντα. Ex προθυμίας, §. 492. μακροθυμίας, praec. μακρά. Ex τηρῆσαι, §. 505. συντηρῆσαι, praec. ἀσινές. Ex ἐπιτρίμματα, §. 507. ἐπιγραφαὶ, praec. ὑπογραφαί. Ex συνεχείᾳ, §. 516. συνηθείᾳ, seq. συνηθῆ κρατηθῆναι. Ex θαυμαστέον, §. 538. θαυμαστὸν, praec. μοναχόν. Ex βοηθεῖν, §. 557. ἐπιβοηθεῖν, praec. ἐπιπλήττειν. Ex ἀσεβείας, §. 574. ἀδικίας, praec. ἐκδικήσω. Ex φοβερὰ, §. 586. φοβερώτερα, praec. χαλεπωτέραν. Ex ἀνθρωπείαν, §. 596. ἀνθρωπίνην, seq. ὑπερβαίνειν. Ex ἀκοῦσαι, §. 598. καὶ ἀκοῦσαι, praevio καιόμενον. κτλ. Jejuna horum aliqua videantur; sed non iis, qui cogitant, vel laterculo plaustrum everti posse: conjuncta vero plane id, quod proposuimus, evincunt. Facile igitur hic quoque διακονίας mutatum est in δοκιμασίας, cum paulo ante occurreret δοκιμασίαν. [Docte quidem disputavit *Bengelius* de errore operarum notissimo, dubito tamen illo errore nostrum quoque lo-

οὔτε ὁ γεωργὸς ἕλοιτ' ἂν πλεῖν, οὔτε ὁ στρατιώτης γεωργεῖν,
οὔτε ὁ κυβερνήτης στρατεύεσθαι, κἂν μυρίους τις ἀπειλῇ θα-
νάτους; ἢ δῆλον, ὅτι [19]) τὸν ἐκ τῆς ἀπειρίας προορώμενοι κίν-
δυνον ἕκαστος; εἶτα ὅπου μὲν ζημία περὶ μικρῶν, τοσαύτῃ 381
χρησόμεθα προνοίᾳ, καὶ οὐκ ἂν εἴξομεν τῇ τῶν βιαζομένων
ἀνάγκῃ· ὅπου δὲ ἡ κόλασις αἰώνιος τοῖς οὐκ εἰδόσι μεταχει-
ρίζειν ἱερωσύνην, ἁπλῶς [20]) καὶ ὡς ἔτυχε τοσοῦτον ἀναδεξό-
μεθα κίνδυνον, τὴν ἑτέρων προβαλλόμενοι [21]) βίαν; ἀλλ' οὐκ
ἀνέξεται τότε ὁ ταῦτα κρίνων ἡμῖν. Ἔδει μὲν γὰρ καὶ πολ- 382
λῷ πλείω τῶν σαρκικῶν περὶ τὰ πνευματικὰ τὴν ἀσφάλειαν
ἐπιδείξασθαι· νῦν δὲ οὐδὲ ἴσην [22]) εὑρισκόμεθα παρεχόμενοι.
Εἰπὲ γάρ μοι, εἴ τινα ὑποπτεύσαντες ἄνδρα εἶναι τεκτονικὸν 383

---

cum corruptum esse. Imo hoc mihi quisque facile dabit, multo facilius ex voce *δοκιμασίας* oriri potuisse *διακονίας*, quam ex *διακονίας* voc. *δοκιμασίας*. Huc accedit, quod sensu neutiquam careat lectio *δοκιμασίας*, modo teneamus, quod ex iis, quae supra disputavit Chrysostomus, luculenter apparet, illos homines, qui episcopi fieri vellent, examini, quo in eorum mores inquirebatur, se submittere debuisse. Sensus igitur hujus loci foret: Opus est, ut illi, qui ad munus episcopi trahantur, bene sibi conscii suae imperitiae, se vel probatione indignos esse ostendant. *L.*]

17) *ἐμπορίας*. Nauticae, proprie. Congruit *κυβερνήτης*. Idem **Basilius** ead. Or. Noam in arca appellat *τὸν μέγαν ἔμπορον* (*vectorem*) *τῆς δικαιοσύνης*.

18) *τὰ βιωτικὰ* sunt serioribus scriptoribus, quae elegantius ab antiquioribus scriptoribus dicuntur *τὰ τοῦ βίου*. Vid. Diodor. Sic. II, 29. Polyb. IV, 73, 8. 1 Cor. VI, 3, 4. Cf. **Lobeck.** ad Phrynich. p. 355. *L.*

19) *ἢ δῆλον.* Particula *ἦ*, quae poni solet in secunda parte orationis bimembris, habet vim corrigendi, hoc sensu: ***Sed, quid quaero? Manifesto provident periculum.*** Vid. Platon. Apolog. Socrat. Cap. XIV. *Ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῂς διαφθείρειν τοὺς νεωτέρους; ἢ δῆλον δή, ὅτι κατὰ τὴν γραφὴν* etc. Cf. ***Stallbaum.*** ad Platon. Phileb. p. 8. ad Euthyphr. p. 24 et Additamenta ***Heinichenii*** in calce nostrae Critonis Platon. editionis p. 76. *L.*

20) *ἁπλῶς — κίνδυνον.* Vet. int. ***nulla praecedente discussione, oculis sumus, ut dicitur, involuti.*** Proverbium illius aevi.

21) *προβαλλόμενοι.* Hinc *πρόβλημα*. ***Herodianus,*** *ἕκαστος δὲ ἐπεφέρετο οἴκοθεν ἢ ξιφίδιον ἢ πέλεκυν, δοράτιά τε ἐκ κυνηγεσίων· βαρέας τε* (in indice ***Scheidiano*** varia est conjectura; in ***Casaubonianis,*** *βύρσας·* sed leg. *βαρύας*, id est, ex Hesychio, *δένδρα*, unde ***barycae*** Vitruvio) *τὰς ἐμπεσούσας περιτεμόντες καὶ ξύλα καταπρίσαντες εἰς τὰ παρατυχόντα σχήματα, ὡς ἕκαστος ἐδύνατο, πρόβλημα τοῦ σώματος ἐποιεῖτο.* [Est igitur *προβάλλεσθαι*, quod nos dicimus *vorschützen*. Metaphora deducta est a militibus arma defensoria praetendentibus et objicientibus. Vid. ***D'Orvill.*** ad Charit. p. 602. *L.*]

22) *οὐδὲ ἴσην.* Quanta perversitas!

οὐκ ὄντα τεκτονικὸν πρὸς τὴν ἐργασίαν καλοῖμεν, ὁ δὲ ἐποιτο, 23) εἶτα ἀψάμενος τῆς πρὸς τὴν οἰκοδομὴν παρεσκευασμένης ὕλης, ἀφανίζοι μὲν ξύλα, ἀφανίζοι δὲ λίθους, ἐργάζοιτο δὲ τὴν οἰκίαν οὕτως, ὡς εὐθέως καταπεσεῖν· ἆρα ἀρκέσει πρὸς ἀπολογίαν αὐτῷ, τὸ παρ᾽ ἑτέρων ἠναγκάσθαι, καὶ μὴ αὐτεπάγγελτον ἥκειν; οὐδαμῶς· καὶ μάλα γε εἰκότως καὶ δι-
384 καίως. ἐχρῆν γάρ, καὶ ἑτέρων καλούντων, ἀποπηδᾶν. Εἶτα 24) τῷ μὲν ξύλα ἀφανίζοντι καὶ λίθους, οὐδεμία ἔσται καταφυγὴ πρὸς τὸ μὴ δοῦναι δίκην· ὁ δὲ ψυχὰς ἀπολλὺς καὶ οἰκοδομῶν ἀμελῶς, τὴν ἑτέρων ἀνάγκην ἀποχρῆν 25) αὐτῷ πρὸς τὸ
385 διαφυγεῖν 26) οἴεται; Καὶ πῶς οὐ λίαν εὔηθες; 27) οὔπω γὰρ προστίθημι, ὅτι τὸν μὴ βουλόμενον οὐδεὶς ἀναγκάσαι δυνήσεται. ἀλλ᾽ ἔστω μυρίαν 28) αὐτὸν ὑπομεμενηκέναι βίαν, καὶ μηχανὰς πολυτρόπους, ὥστε ἐμπεσεῖν· τοῦτο οὖν αὐτὸν ἐξαιρήσεται τῆς κολάσεως; Μὴ παρακαλῶ, μὴ ἐπὶ τοσοῦτον ἀπατῶμεν ἑαυτούς· μηδὲ ὑποκρινώμεθα ἀγνοεῖν, τὰ καὶ τοῖς ἄγαν παισὶ φανερά. οὐ γὰρ δήπου καὶ ἐπὶ τῶν εὐθυνῶν αὕτη τῆς
386 ἀγνοίας ἡ προσποίησις ἡμᾶς ὠφελῆσαι δυνήσεται. Οὐκ ἐσπούδασας αὐτὸς ταύτην δέξασθαι τὴν ἀρχήν, ἀσθένειαν σεαυτῷ συνειδώς; 29) εὖ καὶ καλῶς. 30) ἐχρῆν οὖν μετὰ τῆς αὐτῆς προαιρέσεως, καὶ ἑτέρων καλούντων, ἀποπηδᾶν. ἢ ὅτε μὲν οὐ-

---

23) καλοῖμεν, ὁ δὲ ἔποιτο. *Montefalconius* legit: αὐτὸς δὲ ἕποιτο, sensu prorsus eodem. *L.*

24) εἶτα. Particula contendens et instans: de qua pulchre *Devarius*. conf. §. 381. 124. [*Εἶτα* est nostrum *nun*. *Da nun der, welcher Holz und Steine verdirbt*, etc. Cf. Plut. de usu animal. Orat. II, c. 2, pag. 516. ed. *Tauchn.* **Buttmann**. Gr. Gr. §. 136. ***Matthiae*** Gr. Gr. §. 603. pag. 1211. *L.*]

25) ἀποχρῆν. i. e. ἀρκεῖν. §. 383.

26) πρὸς τὸ διαφυγεῖν. *Montefalconius:* πρὸς τὸ μὴ διαφυγεῖν. Male. *L.*

27) εὔηθες, *nonne hoc fatuum foret?* Hesychius εὔηθες· ἁπλοῦν, μωρόν, ἀνόητον, ἀσύνετον. Thomas Mag. εὔηθες κατ᾽ εὐφημισμὸν τὸ ἀσύνετον. Cf. Intpp. ad Luciani Tim. IV, 1. et Aelian. V. H. III, 17. *L.*

28) μυρίαν. Singularis numerus. §. 391. 549. [Singularis legitur etiam apud Xenophontem in Anab. I, 7, 9. Ἑλλήνων ἀσπὶς μυρία καὶ τετρακοσία. Cf. **Buttmann**. Gr. maj. §. 64. proxime ante annotat. 1. *L.*]

29) συνειδώς. Ambrosius: *Nescii homines et indocti inordinationibus clamant et dicunt:* Dignus es et justus es, et conscientia *misera:* Indignus es et injustus es *dicit*. l. c.

30) εὖ καὶ καλῶς. Εὖ μὲν τὸ ὀρθῶς σημαίνει· καλῶς δὲ τὸ χρήσιμον κτλ. *Ammonius.*

δεὶς ἐκάλει, ἀσθενὴς σὺ καὶ οὐκ ἐπιτήδειος· ἐπεὶ δὲ εὑρέθη-
σαν οἱ δώσοντες τὴν τιμὴν, γέγονας ἐξαίφνης ἰσχυρός; γέλως 387
ταῦτα καὶ λῆροι, καὶ τῆς ἐσχάτης ἄξια τιμωρίας. Διὰ γὰρ
τοῦτο καὶ ὁ Κύριος παραινεῖ, μὴ πρότερον βάλλεσθαι θεμέ-
λιον, τὸν βουλόμενον πύργον οἰκοδομεῖν, πρὶν ἢ τὴν οἰκείαν
λογίσασθαι [31]) δύναμιν· ἵνα μὴ δῷ τοῖς παριοῦσι μυρίας ἀφορ-
μὰς χλευασίας τῆς εἰς αὐτόν. ἀλλ' ἐκείνῳ μὲν μέχρι τοῦ γέ-
λωτος ἡ ζημία· ἐνταῦθα [32]) δὲ ἡ κόλασις πῦρ ἄσβεστον, [33])
καὶ σκώληξ ἀτελεύτητος, καὶ βρυγμὸς ὀδόντων, καὶ σκότος
ἐξώτερον, καὶ τὸ διχοτομηθῆναι, [34]) καὶ τὸ ταγῆναι μετὰ
τῶν ὑποκριτῶν. Ἀλλ' οὐδὲν τούτων ἐθέλουσιν ἰδεῖν οἱ κατη- 388
γοροῦντες ἡμῶν· ἢ γὰρ ἂν [35]) ἐπαύσαντο μεμφόμενοι τὸν οὐκ
ἐθέλοντα ἀπολέσθαι μάτην. Οὐκ ἔστιν ἡμῖν ὑπὲρ οἰκονομίας 389
πυροῦ ἢ κριθῶν, οὐδὲ βοῶν καὶ προβάτων, οὐδὲ περὶ τοιού-
των ἄλλων ἡ σκέψις ἡ προκειμένη νῦν· ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ
σώματος τοῦ Ἰησοῦ. [36]) Ἡ γὰρ ἐκκλησία τοῦ Χριστοῦ, κατὰ 390
τὸν μακάριον Παῦλον, σῶμά ἐστι τοῦ Χριστοῦ· καὶ δεῖ τὸν

---

31) *λογίσασθαι.* „Ita **Ducaeus**. Sed ferri potuit *Savil.* *ἀναλογίσασθαι.* Luc. XIV, 28. legitur: *πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην* — et v. 31. *βουλεύεται εἰ δυνατός ἐστιν.*“ **Hughes.**

32) *ἐκείνῳ· ἐνταῦθα.* Antitheton pronominis et adverbii. §. 393 s.

33) *πῦρ ἄσβεστον.* *Basil. M. Ep.* 121, *nondum edita*, *ποίῳ δὲ σώματι τὰς ἀπεράντους ἐκείνας καὶ ἀνυποίστους ὑποστήσεται μάστιγας; ὅπου πῦρ ἄσβεστον, καὶ σκώληξ ἀθάνατα κολάζων, καὶ πυθμὴν ᾅδου σκοτεινὸς καὶ φρικώδης, καὶ οἰμωγαὶ πικραὶ, καὶ ὀλολυγμὸς ἐξαίσιος, καὶ κλαυθμὸς καὶ βρυγμὸς ὀδόντων, καὶ πέρας οὐκ ἔχει τὰ δεινά. τούτων οὐκ ἔστιν ἀπαλλαγὴ, οὐδὲ τοῦ διεκδῦναι τὰ πικρὰ κολαστήρια. ταῦτα φεύγειν ἔξεστι νῦν· ἕως ἔξεστιν, ἑαυτοὺς ἀπὸ τοῦ πτώματος ἀναλάβωμεν, μηδὲ ἀπελπίσωμεν ἑαυτοὺς, ἐὰν ἀναλύσωμεν ἀπὸ τῶν κακῶν.* **Hoeschelius.**

34) *τὸ διχοτομηθῆναι.* Indicantur hoc verbo summi cruciatus et supplicii genus crudelissimum. Poena, qua hac in terra plurimi populi homines maleficos puniebant (v. c. Chaldaei: Daniel. II, 5. III, 29. Hebraei: 2. Samuel. XIII, 31. Aegyptii: Herodot. III, 16. Graeci: Diod. Sicul. XVII, 83. et Romani: Sueton. Caligul. 27.), transfertur h. l. ad judicium illud, quod nos manet post mortem. *L.*

35) *ἢ γὰρ ἄν.* Quae de particula ἢ, etiam cum aliis composita, *Devarius* docet, omnia ad verbum ἢ reduci possunt. facit enim et ad interrogationem et ad conditionem. ἢ *num* sit? ἢ *si* sit. Hic *ἢ γὰρ ἂν ἐπαύσαντο* resolvas: *nam* si ita *sit*, i. e. alioqui, *desinerent*. Notabilis particula. [„Alii: *ἐπαύσαντο φθεγγόμενοι καὶ μεμφόμενοι.*“ **Montefalconius.**]

36) *σώματος Ἰησοῦ Χριστοῦ.* *Christi corpus* ecclesiam Paulus dicit. [Vid. Epist. ad Coloss. I, 24. *τὸ σῶμα τοῦ Χριστοῦ, ὅ ἐστιν ἡ ἐκκλησία.* vel. v. 18. *αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος, τῆς ἐκκλησίας.* coll. 1. Cor. XII, 27. Eph. I, 23. IV, 12. V, 30. *L.*]

14) *σιμικίνθια.* Vet. int. *praecinctoria.* [*σιμικίνθιον*, quod et *σημικίνθιον* scribitur, est sine dubio vocabulum originis Latinae ex *semi* et *cingo*, et notat proprie *tegumentum linteum*, quo anteriorem corporis partem cingere solent opifices. Quam dedit hujus vocabuli explicationem Oecumenius, ea unice convenit *sudariis* et quadrat in nostrum locum. Verba ejus haec sunt: *Σιμικίνθια ἐν ταῖς χερσὶ κατέχουσι πρὸς τὸ ἀπομάττεσθαι τὰς ὑγρότητας τοῦ προσώπου, οἷον ἱδρῶτας, πτύελον, δάκρυον καὶ τὰ ὅμοια.* Cf. ***Casaubon.*** ad Vopisc. Aurelian. c. 48. ***Wahlius*** in Cl. N. T. s. h. v. et Interprett. ad Petron. c. 94. *L.*]

Παῦλος μὲν εὐχόμενος νεκροὺς ἀνίστη, καὶ ἄλλα ἐθαυματούργει τοιαῦτα, ὡς καὶ θεὸς νομισθῆναι παρὰ τοῖς ἔξωθεν· καὶ πρὶν ἢ τοῦ βίου μεταστῆναι τούτου, κατηξιώθη ἁρπαγῆναι ἕως τρίτου οὐρανοῦ, καὶ ῥημάτων μετασχεῖν, ὧν οὐ θέμις ἀνθρωπείαν ἀκοῦσαι φύσιν. Οἱ δὲ νῦν ὄντες, ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν οὐδὲ βαρύ· καὶ γὰρ καὶ ταῦτα οὐκ ἐπεμβαίνων αὐτοῖς λέγω νῦν, ἀλλὰ θαυμάζων, [15] πῶς οὐ φρίτ-
418 τουσιν ἀνδρὶ τηλικούτῳ παραβάλλοντες ἑαυτούς. Εἰ γὰρ καὶ τὰ θαύματα ἀφέντες, ἐπὶ τὸν βίον ἔλθοιμεν τοῦ μακαρίου, καὶ τὴν πολιτείαν ἐξετάσαιμεν αὐτοῦ τὴν ἀγγελικὴν, καὶ ἐν ταύτῃ μᾶλλον, ἢ ἐν τοῖς σημείοις, ὄψει νικῶντα τὸν ἀθλητὴν τοῦ Χριστοῦ. τί γὰρ ἄν τις εἴποι τὸν ζῆλον, τὴν ἐπιείκειαν, τοὺς συνεχεῖς κινδύνους, [16] τὰς ἐπαλλήλους φροντίδας, τὰς ἀδιαλείπτους ὑπὲρ τῶν ἐκκλησιῶν ἀθυμίας, τὸ πρὸς τοὺς ἀσθενεῖς συμπαθὲς, τὰς πολλὰς θλίψεις, τοὺς καινοτέρους διωγμοὺς, τοὺς καθημερινοὺς θανάτους; Τίς γὰρ τόπος τῆς οἰκουμένης, ποία ἤπειρος, ποία θάλαττα τοῦ δικαίου τοὺς ἄθλους ἠγνόησεν; ἐκεῖνον καὶ ἡ ἀοίκητος ἔγνω, κινδυνεύοντα δεξαμένη πολλάκις. πᾶν γὰρ εἶδος ὑπέμεινεν ἐπιβουλῆς, καὶ πάντα τρόπον ἐπῆλθε νίκης. καὶ οὔτε ἀγωνιζόμενος, οὔτε στεφανούμε-
419 νός διέλιπέ ποτε. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς προήχθην ὑβρίζειν τὸν ἄνδρα. τὰ γὰρ κατορθώματα αὐτοῦ, πάντα μὲν ὑπερβαίνει λόγον· τὸν δὲ ἡμέτερον, τοσοῦτον, ὅσον καὶ ἡμᾶς οἱ λέγειν εἰδότες. Πλὴν ἀλλὰ καὶ οὕτως (οὐδὲ γὰρ ἀπὸ τῆς ἐκβάσεως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως ἡμᾶς ὁ μακάριος κρινεῖ [17]) οὐκ ἀποστήσομαι, ἕως ἂν εἴπω τοῦτο, ὃ τοσοῦτο τῶν εἰρη-
420 μένων κρεῖττόν ἐστιν, ὅσον ἁπάντων ἀνθρώπων ἐκεῖνος. τί οὖν τοῦτό ἐστιν; μετὰ τοσαῦτα κατορθώματα, μετὰ τοὺς μυρίους στεφάνους, ηὔξατο εἰς γέενναν [18]) ἀπελθεῖν, καὶ αἰωνίῳ

---

15) *θαυμάζων, πῶς.* **Demosthenes**, *θαυμάζω, πῶς οὐ λογίζῃ πρὸς σεαυτόν.* Recentiores ita interpungunt, ut construatur, *οἱ νῦν ὄντες πῶς οὐ φρίττουσι;* Nos Erasmus et interpres defendit.

16) *κινδύνους.* Hic idem, *discrimina, jejunia atque vigilias.*

17) *κρινεῖ.* *Κρίνει,* Augustanus et Montef. ed. Utrovis accentu Prosopopoeia est, qualem *Hippolytus* prae se fert, quum prophetas, quos allegat, sic alloquitur: *ταῦτα ὑμῖν ἀξίως ὡς ζῶσιν ἐπιφωνῶ. ἔχετε γὰρ ἤδη τὸν τῆς ζωῆς καὶ ἀφθαρσίας ἀποκείμενον ὑμῖν ἐν τοῖς οὐρανοῖς στέφανον.* fol. 12. edit. Fabric. Sic *Synesius* Ep. 67. de Philone quopiam, *αἰτοῦμαι συγγνώμην ἐπὶ τῷ λόγῳ τὴν ἱερὰν τοῦ πρεσβύτου ψυχήν.*

18) *εἰς γέενναν.* Conf. §. 204.

παραδοθῆναι κολάσει, ὑπὲρ τοῦ τοὺς πολλάκις αὐτὸν καὶ λιθάσαντας, καὶ ἀνελόντας, τό γε αὐτῶν μέρος, Ἰουδαίους σωθῆναι καὶ τῷ Χριστῷ προσελθεῖν. Τίς οὕτως ἐπόθησε τὸν Χριστόν; εἴγε πόθον αὐτὸν δεῖ καλεῖν, ἀλλ' οὐχ ἕτερόν τι τοῦ πόθου πλέον. Ἔτ' οὖν ἑαυτοὺς ἐκείνῳ παραβαλοῦμεν, μετὰ 421
τὴν τοσαύτην χάριν, ἣν ἔλαβεν ἄνωθεν; μετὰ τὴν τοσαύτην ἀρετὴν, ἣν οἴκοθεν [19]) ἐπεδείξατο; καὶ τί τούτου γένοιτ' ἂν τολμηρότερον; Ὅτι δὲ οὐδὲ οὕτως ἦν ἰδιώτης, [20]) ὡς οὗτοι 422
νομίζουσι, καὶ τοῦτο λοιπὸν ἀποδεῖξαι πειράσομαι. Οὗτοι μὲν 423
γὰρ οὐ μόνον τὸν οὐκ ἠσκημένον τὴν τῶν ἔξωθεν λόγων τερθρείαν [21]) ἰδιώτην καλοῦσιν, ἀλλὰ καὶ τὸν οὐκ εἰδότα μάχεσθαι ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων· καὶ καλῶς νομίζουσιν. ὁ δὲ Παῦλος οὐκ ἐν ἀμφοτέροις ἔφησεν ἰδιώτης εἶναι, ἀλλ' ἐν θατέρῳ μόνον· καὶ τοῦτο ἀσφαλιζόμενος τὸν διορισμὸν ἀκριβῶς πεποίηται, [22]) λέγων τῷ λόγῳ ἰδιώτης εἶναι, ἀλλ' οὐ τῇ γνώσει. [23]) Ἐγὼ δὲ εἰ μὲν τὴν λειότητα Ἰσοκράτους 424
ἀπῄτουν, καὶ τὸν Δημοσθένους ὄγκον, καὶ τὴν Θουκυδίδου σεμνότητα, καὶ τὸ Πλάτωνος ὕψος, [24]) ἔδει φέρειν εἰς μέσον

---

19) οἴκοθεν. Antitheton, ἄνωθεν, οἴκοθεν. ut, παρ' αὐτοῦ, ἄνωθεν. §. 199. Homil. 27. in Gen. *Abel obtulit* οἴκοθεν κινούμενος· *Noe obtulit* ἐξ οἰκείας γνώμης καὶ προαιρέσεως ὑγιοῦς, κατὰ τὴν ἀνθρωπίνην γνώμην, ὡς ἐνόμισε.

20) οὕτως ἦν ἰδιώτης. Ita placuit hic locus *Flacio*, ut totum a §. 422. ad 433. induceret Clav. Part. II. f. 392. 390 s. in Tr. V. de stilo sacr. lit. in quo etiam de Pauli doctrina sermonisque genere valde copiosus est.

21) τερθρείαν. Erasmi margo, φλυαρίαν. sic quoque Hesychius. Notanda *Cyrilli Al.* allegoria: τὸ προαλὲς εἰς λόγους, καὶ τὸ ἀχάλινον εἰς τερθρείας, κινδύνου μεστὸν, καὶ εἰς πέταυρον ᾅδου κατακομίζει τοὺς κεχρημένους. est autem τέρθρον funis; et fune utuntur *petauristae*. Similiter *Gregorius Thaum.* appellat πανουργίαν τὴν ἐν λόγοις. Paneg. p. 78. *Eusebius*, περίνοιαν καὶ τέχνην λόγων. *Gregorius Naz.* in Apol. ἕλληνες, οἱ τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίχνῳ τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύουσι.

22) πεποίηται. Saepe verba, hoc tempore, vim activam habent. [Non vim Activi, sed Medii habet h. l. perfectum Passivi. Egerunt de hac enallage *Buttmann*. Gramm. maj. §. 123. 4. *Matthiae* §. 493. d. *Thiersch*. §. 286. 5. *Poppo* ad Xenoph. Cyropaed. p. 360 et ad Xenoph. Anab. p. 197. *Winer Gr. des N. T.* pag. 214. ed. 3tia. *L.*]

23) γνώσει. 2. Corinth. XI, 6. *L.*

24) ὕψος. Videantur, de his et formis et exemplis, Aristoteles, Hermogenes, Cicero, Quintilianus, alii. Ephemerides laudatae: *Prudentissimus auctor noster* (Chrysostomus) *characterem S. Pauli multo cognovit melius, quam Beza, de quo haec est animadversio*

ταύτην τοῦ Παύλου τὴν μαρτυρίαν. νῦν δὲ ἐκεῖνα μὲν πάντα ἀφίημι,[25]) καὶ τὸν περίεργον τῶν ἔξωθεν καλλωπισμὸν,[26])

Castellionis: *Paulum et grandiloquentia Platoni, et vehementia Demostheni, et methodo Aristoteli atque Galeno anteponit: in quo mihi videtur pictores imitari, qui Christi matrem, dum honorare volunt, regio vestitu pingunt, et eidem tamen, ita cogente historia, praesepe, in quo jaceat Christus infans, appingunt. etc.* Vid. Cast. Defens. transl. p. 203. Tota apostolorum cum externis comparatione supersederi poterat. Valeat verborum affectata lenitas: res ὄγκον Paulo, σεμνότητα Petro, ὕψος Johanni, ex abundantia virtutis, sensus et lucis coelestis attulit tantum, ut externorum formae omnes nòmina, quae tamen viri sancti non curaverunt, amittant. [Similis plane locus est apud Ciceronem de Orat. III, 7, 28. „*Suavitatem Isocrates, sublimitatem Lysias, acumen Hyperides, sonitum Aeschines, vim Demosthenes habuit.*“ Et Suidas de his de Sacerdotio libris dicit: ὑπερβάλλουσι τῷ ὕψει, καὶ τῇ φράσει, καὶ τῇ λειότητι, καὶ τῷ κάλλει τῶν ὀνομάτων. Cf. *H. A. Schott. Die Theorie der Beredsamkeit. Th.* III, *Abthlg.* 2. pag. 146. De Isocrate vid. Cic. Brutus 32. Orator. 40. De Demosthene cf. Cic. Orat. „Sed ego idem, qui in illo sermone nostro, qui est expositus in Bruto, multum tribuerim Latinis, vel ut hortarer alios, vel quod amarem meos, recordor longe omnibus unum anteferre Demosthenem, qui *vim accommodarit* ad eam, quam sentiam, eloquentiam. — Hoc nec gravior exstitit quisquam, nec callidior, nec temperantior.“ De Thucydide dicit idem Cicero de Orat. II, 13, 56. „Et post illum (Herodotum) Thucydides omnes dicendi artificio mea sententia facile vicit, qui ita creber est rerum frequentia, ut verborum prope numerum sententiarum numero consequatur: ita porro verbis aptus et pressus, ut nescias, utrum res oratione an verba sententiis illustrentur. „De Platonis *sublimitate*, (haec enim est Graecorum ὕψος.) loquitur Tullius in Bruto 121. „Quis enim, inquit, uberior in dicendo Platone? Jovem ajunt philosophi, si graece loquatur, ita loqui. — Lectitavisse Platonem studiose, audivisse etiam Demosthenes dicitur: idque apparet ex genere, et granditate verborum.“ De Orat. III, 15. „Neque enim quisquam nostrum, quum libros Platonis mirabiliter scriptos legit, in quibus omnibus fere Socrates exprimitur, non, quamquam illa scripta sunt divinitus, tamen majus quiddam de illo, de quo scripta sunt, suspicatur.“ Quintilianus X, 1. „Philosophorum, ex quibus plurimum se traxisse eloquentiae M. Tullius confitetur, quis dubitat Platonem esse praecipuum, sive acumine disserendi, sive eloquendi facultate divina quadam et Homerica? Multum enim supra prosam orationem, et quam pedestrem Graeci vocant, surgit, ut mihi non hominis ingenio, sed quodam Delphico videatur oraculo instinctus.“ Cf. Hieronym. adv. Jovinian. libr. I. et Arnob. c. gent. p. 7. ed. *Canteri.* — Λειότης ὀνομάτων apud rhetores Graecos dicitur, cum in orationis compositione vitatur crebra consonantium et aspera σύγκρουσις, quam vocat Cicero *conjunctionis lenitatem.* Inde vero Isocratem appellat *eloquentiae patrem*, quod verbis solutis numeros primus adjunxit, et orationi suavitatem conciliavit, de Orator. II, 1, 3. *Hughes.* Quid sit ὄγκος λέξεως, docuit Longin. p. 48. ed. *Toll.* Est nimirum orationis pondus, granditas, majestas. Cf. *Krebs.* ad Plutarch. de audiend. poët. cap. II, p. 109. — σεμνότης est *gravitas.* Ita et *Justus Lipsius. Not.* ad Polit. libr. I, c. 9. de Thucydide: „Res nec multas nec magnas nimis scripsit; sed palmam fortassis praeripit omnibus, qui multas

καὶ οὐδέν μοι φράσεως, οὐδὲ ἀπαγγελίας [27]) μέλει· ἀλλ' ἐξέστω καὶ τῇ λέξει πτωχεύειν, καὶ τὴν συνθήκην τῶν ὀνομάτων ἁπλῆν τινα εἶναι καὶ ἀφελῆ, μόνον μὴ τῇ γνώσει [28]) τις καὶ τῇ τῶν δογμάτων ἀκριβείᾳ ἰδιώτης ἔστω· μήδ' ἵνα τὴν οἰκείαν ἀργίαν ἐπικαλύψῃ, τὸν μακάριον ἐκεῖνον ἀφαιρείσθω τὸ μέγιστον τῶν ἀγαθῶν, καὶ τὸ τῶν ἐγκωμίων κεφάλαιον.

VII. Πόθεν γάρ, εἰπέ μοι, τοὺς Ἰουδαίους συνέχεε τοὺς 425
ἐν Δαμάσκῳ κατοικοῦντας, οὐδέπω τῶν σημείων ἀρξάμενος; πόθεν τοὺς Ἑλληνιστὰς [1]) κατεπάλαισε; [2]) διὰ τί δὲ εἰς Ταρσὸν ἐξεπέμπετο; οὐκ ἐπειδὴ κατὰ κράτος ἐνίκα τῷ λόγῳ, καὶ εἰς τοσοῦτον αὐτοὺς ἤλαυνεν, ὡς καὶ εἰς φόνον παροξυνθῆναι, μὴ φέροντας τὴν ἧτταν; ἐνταῦθα γὰρ οὐδέπω τοῦ θαυματουργεῖν ἤρξατο. Οὐδ' ἂν ἔχοι τις εἰπεῖν, ὅτι ἀπὸ τῆς περὶ τὰ τεράστια δόξης θαυμαστὸν αὐτὸν ἦγον [3]) οἱ πολλοί, καὶ οἱ μαχόμενοι πρὸς αὐτὸν ἀπὸ τῆς ὑπολήψεως ἐπηρεάζοντο [4])

---

et magnas. Elocutione tota *gravis* et brevis, densus sententiis, sanus judiciis, occulte ubique instruens, actionesque et vitam dirigens, — quem quo saepius legas, plus auferas, et nunquam tamen dimittat te sine siti.“ De elegantia veterum oratorum digna sane, quam omnes sacri oratores imitarentur, bene egit **Cramerus** l. l. p. 150—153. *L.*]

25) ἀφίημι. *Mirum est, quanta consensione patres omnes, Christianae ecclesiae lumina, stilum sophisticum abjecerint et damnarint.* Cresoll. theatr. rhet. ubi hoc ipsum p. 366 ss. Chrysostomi et aliorum testimoniis comprobat.

26) καλλωπισμός. Dicuntur καλλωπίζεσθαι proprie ii, qui corpori ornando summam curam impendunt, qui in cultu et ornatu corporis sectantur non elegantiam, sed munditiem affluentem, ut aliis placeant. Hinc καλλωπισμός, quod proprie est *vestitus elegantia*, ut Latinorum *ornatus* metaphorice dicitur. Sic etiam h. l. *L.*

27) ἀπαγγελίας. Ἀπαγγελία non solum pronunciationem significat, sed omnem ἑρμηνείαν et artem ad exprimendas animi notiones. Vide eund. *Cresoll.* p. 313.

28) μὴ τῇ γνώσει. Haec videlicet ἐσχάτη ἐστὶν ἰδιωτεία. Hom. 23. ad 2. Cor. ubi διορισμὸς modo commemoratus bene ostenditur. Aurea sunt, quae habet *Marcus Eremita* in Capp. de lege spir. εἶδον ἰδιώτας, *Vidi idiotas, revera humili sensu, et evaserunt sapientibus sapientiores.* etc.

1) Ἑλληνιστάς. Act. IX, 29. De notione voc. ἑλληνιστής vid. **Wahl.** in Clav. N. T. s. h. v. et **Kuinoel** ad Act. VI, 1. *L.*

2) καταπαλαίειν est *lucta vincere.* 4. Maccab. III, 18. ἀλγηδόνας καταπαλαῖσαι. vid. **Schleusner.** Lex. in LXX Interpp. III, 238. *L.*

3) ἦγον. Idem verbum, §. 480.

4) ἐπηρεάζοντο. ἠπηρεάζοντο. *Montf. ed.* [ἐπηρεάζοντο, *eos, qui illum oppugnabant, existimatione viri obrutos esse.* De variis, quos verbum ἐπηρεάζειν habet, significatibus, vid. **Wahl** in Cl. N. T. **Sturz.** in Lex. Xenoph. **Wass.** ad Thucyd. I, 26, et **Morus** ad Isocrat. Paneg. 31. *L.*]

426 τἀνδρός. τέως [5]) γὰρ ἀπὸ τοῦ λέγειν μόνον ἐκράτει. Πρὸς
δὲ τοὺς ἰουδαΐζειν ἐπιχειροῦντας ἐν Ἀντιοχείᾳ πόθεν ἠγωνίζετο
καὶ συνεζήτει; Ὁ δὲ Ἀρεοπαγίτης ἐκεῖνος, ὁ τῆς δεισιδαιμο-
νεστάτης [6]) πόλεως ἐκείνης, οὐκ ἀπὸ δημηγορίας μόνης ἠκο-
λούθησεν αὐτῷ, μετὰ τῆς Γυναικός; [7]) Ὁ δὲ Εὔτυχος [8]) πῶς
κατέπεσεν ἀπὸ τῆς θυρίδος; οὐκ ἐπειδὴ μέχρι βαθείας [9]) νυ-
427 κτὸς εἰς τὸν τῆς διδασκαλίας αὐτοῦ ἀπησχολεῖτο λόγον; Τί
δὲ ἐν Θεσσαλονίκῃ καὶ ἐν Κορίνθῳ; τί δὲ ἐν Ἐφέσῳ; καὶ ἐν
αὐτῇ τῇ Ῥώμῃ; οὐχ ὅλας ἡμέρας καὶ νύκτας ἀνήλισκεν ἐφε-
ξῆς εἰς τὴν ἐξήγησιν [10]) τῶν γραφῶν; τί ἄν τις λέγοι τὰς

---

5) *τέως*. Varia vis particulae. §. 290. 415. 595. [Hesych. *τέως — τότε, — τηνικαῦτα*. vid. Xenoph. Hist. Gr. 1, 4, 2. *φαρνάβαζος δὲ τέως μὲν κατεῖχε τοὺς πρέσβεις ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς ἦσαν*. *L.*]

6) *δεισιδαιμονεστάτης*. Verbum *μέσον* Paulo, Act. 17, 22. parcebat enim Atheniensibus: at Chrysostomus in malam partem repetit. [Docte *Kuinoelius* de h. v. ad Act. XVII, 22. haec disputavit: Vocabulum *δεισιδαίμων*, ut nomen *δεισιδαιμονία*, duplici sensu adhiberi solet. Bono sensu *δεισιδαιμονία* notat *religionem*, *pietatis studium*, et *δεισιδαίμων*, *religiosum*, *pium erga deos*. Hesychius: *δεισιδαίμων· ὁ εὐσεβής*. Suidas: *θεοσεβής*. Ita legitur *δεισιδαίμων* apud Xenoph. Cyrop. 3, 3, 58. ubi praecedit *θεοσεβῶς*. Diod. Sic. 1, 70. *δεισιδαιμονίαν καὶ θεοσεβῆ βίον* conjungit. Arist. de republ. 5, 11. *τὰ πρὸς τοὺς θεοὺς φαίνεσθαι ἀεὶ σπουδάζοντα διαφερόντως — ἐὰν δεισιδαίμονα νομίζουσιν εἶναι τὸν ἄρχοντα, καὶ φροντίζειν τῶν θεῶν*. add. Joseph. Ant. 10, 3, 2. Aelian. V. H. 5, 17. Malo sensu *δεισιδαιμονία* indicat *superstitionem*, ut ap. Theophr. Charact. 16., ubi explicatur *δειλία πρὸς τὸ δαιμόνιον*. Pollux 1, 1, 21. *εὐσεβής, θεῶν ἐπιμελής, ὁ δὲ ὑπερτιμῶν, δεισιδαίμων καὶ δεισίθεος*. Hesychius: *δεισιδαίμων· ὁ τὰ εἴδωλα σέβων, εἰδωλολάτρης, ὁ εὐσεβὴς καὶ δειλὸς παρὰ θεοῖς*. *L.*]

7) *μετὰ τῆς Γυναικός*. Antonomasia, qua *Damaris* innuitur. Hesychius, *γυνὴ, ἔχουσα ἄνδρα*. Interpres vetus et novi: *cum uxore*. et sic Ambrosius (quem *Cantabr.* citant) in Ep. ad eccl. Vercell. *Dionysius Areopagites cum Damari uxore sua*. Verum si hoc voluisset Lucas, si hoc Lucam voluisse Chrysostomus h. l. et in Homil. ad Acta sensisset, utervis etiam *αὐτοῦ* addidisset. [Vid. *Kuinoel* ad Act. XVII, 34. *L.*]

8) *Εὔτυχος*. Act. XX, 9. ubi vid. ***Wolfius*** in Curis. *L.*

9) *βαθεία νυκτός*. ***ad multam usque noctem***. Saepe nimirum vocabula *βαθὺς* et *βαθεία* de tempore dicuntur. Sic v. c. primum diluculum vocatur a Platone Crit. I. *ὄρθρος βαθύς*, ad quem locum plura hanc in rem collegimus. Cf. ***Heinichen***. ad Euseb. H. E. II, 18, 1. p. 151. et quae idem Vir Doctus observavit ad calcem nostrae Critonis editionis p. 75 sq. *L.*

10) *ἐξήγησιν*. Vid. de notione hujus vocabuli et verbi *ἐξηγεῖσθαι* apud veteres, qui rerum sacrarum, mysteriorum, oraculorum interpretes dicebant *ἐξηγητάς*, ***Fischer***. ad Platon. Euthyphr. IV, 17. ***Ruhnken***. ad Timaei Lex. Plat. p. 80. ***Rambach***. ad ***Potter***. T. I, p. 594 et ***Heinichen*** ad Euseb. H. E. VII, 30, 21. *L.*

πρὸς τοὺς Ἐπικουρείους διαλέξεις καὶ Στωϊκούς;[11]) εἰ γὰρ
ἅπαντα θέλοιμεν καταλέγειν, εἰς μακρὸν ἐκπεσεῖται μῆκος ὁ
λόγος. Ὅτ' ἂν οὖν καὶ πρὸ τῶν σημείων καὶ ἐν μέσοις αὐ- 428
τοῖς φαίνηται πολλῷ κεχρημένος τῷ λόγῳ· πῶς ἔτι τολμή-
σουσιν ἰδιώτην εἰπεῖν, τὸν καὶ ἀπὸ τοῦ διαλέγεσθαι καὶ δη-
μηγορεῖν[12]) μάλιστα θαυμασθέντα παρὰ πᾶσι; Διὰ τί γὰρ 429
Λυκάονες αὐτὸν ὑπέλαβον εἶναι Ἑρμῆν; τὸ μὲν γὰρ θεοὺς
αὐτοὺς[13]) νομισθῆναι, ἀπὸ τῶν σημείων ἐγένετο· τὸ δὲ τοῦ-
τον Ἑρμῆν, οὐκ ἔτι ἀπ' ἐκείνων, ἀλλ' ἀπὸ τοῦ λόγου.[14])
Τίνι δὲ καὶ τῶν ἄλλων ἀποστόλων ἐπλεονέκτησεν ὁ μακάριος 430
οὗτος; καὶ πόθεν ἀνὰ τὴν οἰκουμένην ἅπασαν πολὺς ἐν τοῖς
ἁπάντων ἐστὶ στόμασιν; πόθεν οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ
παρὰ Ἰουδαίοις καὶ Ἕλλησι μάλιστα πάντων θαυμάζεται; οὐκ
ἀπὸ τῆς τῶν ἐπιστολῶν ἀρετῆς; δι' ἧς οὐ τοὺς τότε μόνον
πιστοὺς, ἀλλὰ καὶ τοὺς ἐξ ἐκείνου μέχρι τῆς σήμερον γενο-
μένους, καὶ τοὺς μέλλοντας δὲ ἔσεσθαι μέχρι τῆς τοῦ Χρι-
στοῦ παρουσίας ὠφέλησέ τε καὶ ὠφελήσει, καὶ οὐ παύσεται
τοῦτο ποιῶν, ἕως ἂν τὸ τῶν ἀνθρώπων διαμένῃ γένος. Ὥσπερ 431
γὰρ τεῖχος ἐξ ἀδάμαντος κατασκευασθὲν, οὕτω τὰς πανταχοῦ
τῆς οἰκουμένης ἐκκλησίας τὰ τούτου τειχίζει γράμματα·[15]) καὶ
καθάπερ τις ἀριστεὺς[16]) γενναιότατος ἕστηκε καὶ νῦν μέσος,
αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καὶ
καθαιρῶν λογισμοὺς καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς
γνώσεως τοῦ Θεοῦ. ταῦτα δὲ πάντα ἐργάζεται, δι' ὧν ἡμῖν
κατέλιπεν ἐπιστολῶν τῶν θαυμασίων ἐκείνων, καὶ τῆς θείας
πεπληρωμένων σοφίας. Οὐ πρὸς δογμάτων δὲ μόνον νόθων 432
τε ἀνατροπὴν καὶ γνησίων ἀσφάλειαν ἐπιτήδεια ἡμῖν αὐτοῦ τὰ

---

11) *Στωϊκούς.* Cf. Act. XVII, 18. *L.*

12) *διαλέγεσθαι καὶ δημηγορεῖν.* Haec verba interdum promiscue ponuntur, §. 449. sed h. l. distincte. §. 426 s. [Vertenda haec verba: *et disputando et concionando.* Cf. Xenoph. Memorr. III, 6, 1. et *D'Orvill.* ad Charit. p. 8. *L.*]

13) *αὐτούς.* Barnabas simul subauditur. [Vid. Act. XIV, 12. *L.*]

14) *τοῦ λόγου.* Diserte enim Lucas l. l. dicit: *ἐκάλουν τε τὸν μὲν Βαρνάβαν Δία, καὶ τὸν Παῦλον Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. L.*

15) *γράμματα.* Laudat, idque jure, hunc locum *Strigelius* Hypomn. N. T. Rom. 1, 1.

16) *ἀριστεύς.* Dicitur ab *ἄριστος·* et hoc ab *ἄρης*, *Mars.* a bello ad alia transferri docet ex veteri Grammatico *Photius.* [Vid. Eurip. Iphig. Aulid. v. 28. *L.*]

γράμματα, ἀλλὰ καὶ πρὸς τὸ βιοῦν εὖ οὐκ ἐλάχιστον ἡμῖν συντελεῖ μέρος. Τούτοις γὰρ ἔτι καὶ νῦν οἱ προεστῶτες χρώμενοι, τὴν ἁγνὴν παρθένον, ἣν ἡρμόσατο τῷ Χριστῷ, ῥυθμίζουσί τε καὶ πλάττουσι καὶ πρὸς τὸ πνευματικὸν ἄγουσι κάλλος· τούτοις καὶ τὰ ἐπισκήπτοντα αὐτῇ νοσήματα ἀποκρούονται, καὶ τὴν προσγινομένην διατηροῦσιν ὑγίειαν. Τοιαῦτα ἡμῖν ὁ ἰδιώτης [17]) κατέλιπε φάρμακα, καὶ τοσαύτην ἔχοντα δύναμιν, ὧν ἴσασι τὴν πεῖραν καλῶς, οἱ χρώμενοι συνεχῶς.

433 Καὶ ὅτι μὲν πολλὴν αὐτὸς ἐποιεῖτο τοῦ μέρους τούτου σπουδὴν, ἐκ τούτων δῆλον·

434 VIII. Ἄκουε δὲ καὶ τῷ μαθητῇ τί φησιν [1]) ἐπιστέλλων· Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ, καὶ τὸν ἀπὸ τούτου καρπὸν προστίθησι λέγων· Τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου. Καὶ πάλιν· Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, [2]) ἀνεξίκακον. Καὶ προϊὼν δέ φησι· Σὺ δὲ μένε [3]) ἐν οἷς ἔμαθες, καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά [4]) σε σοφίσαι· [5]) καὶ πάλιν· Πᾶσα γραφὴ θεόπνευστος, [6]) φησὶ, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον,

---

17) *ἰδιώτης.* Mimesis, cum insigni sententia.

1) *φησίν.* 1. Timoth. IV, 13. Locus posterior legitur 2. Timoth. 2, 24. *L.*

2) *διδακτικὸν*, *docentem. Cognitione est dignissimum, multa nomina, a philosophis adhuc in ivus usurpata, conjunctaque cum genitivis, a Cicerone fieri in* eus. *Perion.* in Arist. Eth. p. 16. Vulgatus 2. Tim. 2. *docibilem*, quod defendit *Goldast.* ad Paraen. veteres p. 79. exstat *J. M. Langii* Ex. περὶ τοῦ διδακτικοῦ.

3) *σὺ δὲ μένε.* 2. Tim. III, 14. et 15. *Montefalconius* pro *ἐπιστώθης* legit *ἐπιστεύθης.* Sed in omnibus Codd. est apud Paulum *ἐπιστώθης*, quod hanc ob causam etiam h. l. retinendum videtur, et vertendum: *quae certissime edoctus es. L.*

4) *τὰ δυνάμενα.* Hom. 9. in 2. ad Tim. *ἀντ' ἐμοῦ φησι τὰς γραφὰς ἔχεις· εἴτι βούλει μαθεῖν, ἐκεῖθεν δυνήσῃ. εἰ δὲ τιμοθέῳ ταῦτα ἔγραφε τῷ πνεύματος ἐμπεπλησμένῳ, πόσῳ μᾶλλον ἡμῖν.*

5) *σοφίσαι. Εἰς σωτηρίαν*, addunt Hoesch. et al. [Optime animadvertit ad h. l. Paulinum Theophylactus: *οὐχ ὥσπερ ἡ ἔξω γνῶσις σοφίζει τὸν ἄνθρωπον εἰς ἀπάτην καὶ σοφίσματα καὶ λογομαχίας, ἐξ ὧν ἀπώλεια ψυχῆς, οὕτω καὶ ἡ θεία γνῶσις, ἀλλ' αὐτὴ σοφίζει εἰς σωτηρίαν. Ποίαν; Οὐ τὴν δι' ἔργων, οὐ τὴν διὰ λόγων, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ. Ὁδηγοῦσι γὰρ αἱ ἅγιαι γραφαὶ τὸν ἄνθρωπον εἰς τὸ πιστεῦσαι Χριστῷ, σωτηρίαν αὐτῷ περιποιοῦντι. L.*]

6) *θεόπνευστος καὶ ὠφέλιμος. Καὶ*, et 2. Tim. 3, 16. coll. Homil. ad h. l. Deus scripturam inspiravit; Scriptura Deum

πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν [7]) τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος [8]) ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος. Ἄκουε δὲ καὶ τῷ Τίτῳ 435 περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως διαλεγόμενος τί προστίθησιν· Δεῖ γάρ, φησὶν, εἶναι τὸν ἐπίσκοπον ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Πῶς οὖν ἰδιώτης τις ὢν, ὥς οὗτοί φασι, 436 τοὺς ἀντιλέγοντας ἐλέγχειν δυνήσεται καὶ ἐπιστομίζειν; [9]) τίς δὲ χρεία προσέχειν τῇ ἀναγνώσει καὶ ταῖς γραφαῖς, εἰ ταύτην δεῖ τὴν ἰδιωτείαν ἀσπάζεσθαι; [10]) σκῆψις ταῦτα καὶ πρόφασις, καὶ ῥαθυμίας καὶ ὄκνου προσχήματα. Ἀλλὰ τοῖς ἱερεῦσί (φησι) [12]) ταῦτα διατάττεται. καὶ γὰρ περὶ ἱερέων ἡμῖν ὁ λόγος 437 438 νῦν. ὅτι δὲ καὶ τοῖς ἀρχομένοις, [12]) ἄκουε τί πάλιν ἑτέροις ἐν ἑτέρᾳ ἐπιστολῇ παραινεῖ· [13]) Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ. Καὶ πάλιν· Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Καὶ τὸ, πρὸς ἀπολογίαν ἑτοίμους εἶναι, ἅπασιν εἴρηται. Θεσσαλονικεῦσι δὲ ἐπιστέλλων·

---

spirat. Vid. *Ambros.* l. 3. de Spir. S. c. 18. item *Dankauer.* Hodosoph. p. 19 s.

7) παιδείαν. Παίδευσιν, ed. prima. [quod in textum recepit *Montefalconius*. Male. *L.*]

8) ἄρτιος. id. q. ὁλόκληρος, quo vocabulo reddidit voc. ἄρτιος Hesychius. Vid. *Heydenreich.* ad 2. Timoth. III, 17. pag. 200. coll. Theophr. Hist. plant. II, 7. *L.*

9) ἐπιστομίζειν. Vet. int. *in silentium cogere.* idem verbum Graecum, §. 405. 411. ubi ille: *frenare, comprimere.* Cum toto sermone, qui a §. 394. huc fluxit, mire in verbis juxta ac sensibus consonat Homilia 2. in ep. ad Tit. [De verbo ἐπιστομίζειν vid. *Wahl.* in Clav. N. T. s. h. v. *L.*]

10) ἀσπάζεσθαι. Similiter *Lutherus* noster jubet verbi ministros summum impendere studium et nocturna diurnaque manu versare biblia sacra, in praefatione Spangenbergi orationibus sacris praemissa pag. T. XIV. H. p. 376. „*Fürwahr du kannst nicht zu viel in der Schrift lesen, und was du liesest, kannst du nicht zu wohl lesen, und was du wohl liesest, kannst du nicht zu wohl verstehen, und was du wohl verstehest, kannst du nicht zu wohl lehren, und was du wohl lehrest, kannst du nicht zu wohl leben. Der Teufel ists, unser Fleisch ists, die wider uns wüthen und toben. Darum, liebe Herrn Prediger, betet, leset, studiret, seid fleissig; fürwahr, es ist nicht schnarchens und schlafens Zeit: braucht eure Gabe, die euch vertraut ist.*“ *L.*

11) φησί. Ellipsin supplet. *Greg. Naz.* φησὶν ὁ εἰπών.

12) ἀρχομένοις. Haec stare non possunt, sublato jure publico legendae Scripturae sacrae.

13) παραινεῖ. Leguntur haec effata Coloss. III, 16. et IV, 6. *L.*

439 Οἰκοδομεῖτε, [14]) φησὶν, εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. Ὅτ' ἂν δὲ περὶ ἱερέων διαλέγηται· Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς [15]) ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν
440 λόγῳ καὶ διδασκαλίᾳ. Καὶ γὰρ οὗτος ὁ τελεώτατος τῆς διδασκαλίας ὅρος, [16]) ὅτ' ἂν καὶ δι' ὧν πράττουσι, καὶ δι' ὧν λέγουσι, τοὺς μαθητευομένους ἐνάγωσι πρὸς τὸν μακάριον βίον, ὃν ὁ Χριστὸς διετάξατο. Οὐ γὰρ ἀρκεῖ τὸ ποιεῖν πρὸς τὸ
441 διδάσκειν· καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Σωτῆρος. Ὃς γὰρ ἂν, φησὶ, ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται. Εἰ δὲ τὸ ποιῆσαι, διδάξαι ἦν, περιττῶς [17]) τὸ δεύτερον ἔκειτο· καὶ γὰρ ἤρκει εἰπεῖν, ὃς ἂν ποιήσῃ, μόνον. νῦν δὲ τῷ διελεῖν ἀμφότερα δείκνυσιν, ὅτι τὸ μὲν τῶν ἔργων ἐστὶ, τὸ δὲ τοῦ λόγου, καὶ ἀλλήλων δεῖται ἑκάτερα πρὸς τὴν τελείαν οἰ-
442 κοδομήν. Ἢ οὐκ ἀκούεις, τί φησι τοῖς πρεσβυτέροις Ἐφεσίων τὸ τοῦ Χριστοῦ σκεῦος τὸ ἐκλεκτόν· Διὸ γρηγορεῖτε, [18]) μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν. Τίς γὰρ χρεία τῶν δακρύων, ἢ τῆς διὰ τῶν λόγων νουθεσίας, οὕτω τοῦ
443 βίου αὐτῷ λάμποντος τοῦ ἀποστολικοῦ; [19]) Ἀλλὰ πρὸς μὲν τὴν τῶν ἐντολῶν ἐργασίαν, δύναιτ' ἂν ἡμῖν οὗτος πολὺ συμβαλέσθαι μέρος· οὐδὲ γὰρ ἐκεῖ μόνον αὐτὸν τὸ πᾶν κατορθοῦν φαίην ἄν.

---

14) *οἰκοδομεῖτε.* 1. Thessal. V, 11. *L.*

15) *διπλῆς τιμῆς.* 1. Timoth. V, 17. Cf. de hoc loco **Schleiermacher.** *Ueber den sogenannten ersten Brief des Paulos an den Timotheos.* Berol. 1807. pag. 212 sq., contra quem disputavit ***Henricus Planck*** in libro: *Bemerkungen über den ersten Paulinischen Brief an den Timotheus.* Gotting. 1808. pag. 210 sq. *L.*

16) *ὁ τελεώτατος τῆς διδασκαλίας ὅρος.* Unus cod. ὁ τελειότατος τῆς παιδείας τρόπος. ***Montef.*** Vetus int. *perfectus docendi modus.* [quae interpretatio sane adjuvat lectionem illam a ***Montefalconio*** notatam. *L.*]

17) *περιττῶς.* Agnoscit auctor, nil frustra dici in Scriptura. ***Origenes***, *οὐδὲν ΠΑΡΕΛΚΕΙ τῶν γεγραμμένων.* Sic quoque Chrysostomus alibi; de quo conf. *Suicer.* Thes. P. I. col. 786.

18) *γρηγορεῖτε.* Act. XX, 31. *L.*

19) *βίου — ἀποστολικοῦ.* *Εὐαγγελικὴ πολιτεία*, ut Basilius M. vocat et describit, est *ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμὸς, ἀγγαρευόμενος προστίθει, τυπτόμενος ἐπίβαλλε, ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπα, διωκόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, συσταυρώθητι τῷ Χριστῷ, ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν κύριον.* Haec ex Basilio Suidas, ex utroque ***Rittershusius*** ad Isid. Pelus.

IX. Ὅταν δὲ ὑπὲρ δογμάτων ἀγὼν [1]) κινῆται, καὶ πάν-
τες ἀπὸ τῶν αὐτῶν μάχωνται γραφῶν, ποίαν ἰσχὺν ὁ βίος ἐν-
ταῦθα ἐπιδεῖξαι δυνήσεται; Τί τῶν πολλῶν ὄφελος ἱδρώτων, 444
ὅτ᾽ ἂν μετὰ τοὺς μόχθους ἐκείνους, ἀπὸ τῆς πολλῆς τις ἀπει-
ρίας εἰς αἵρεσιν ἐκπεσὼν ἀποσχισθῇ τοῦ σώματος τῆς ἐκκλη-
σίας; ὅπερ οἶδα πολλοὺς παθόντας ἐγώ. ποῖον αὐτῷ κέρδος
τῆς καρτερίας; οὐδὲν, ὥσπερ οὖν οὐδὲ ὑγιοῦς πίστεως, τῆς
πολιτείας διεφθαρμένης. Διὰ δὴ ταῦτα μάλιστα πάντων ἔμ- 445
πειρον [2]) εἶναι δεῖ τῶν τοιούτων ἀγώνων, τὸν διδάσκειν τοὺς
ἄλλους λαχόντα. Εἰ γὰρ καὶ αὐτὸς ἕστηκεν ἐν ἀσφαλείᾳ, μη- 446
δὲν ὑπὸ τῶν ἀντιλεγόντων βλαπτόμενος· ἀλλὰ τὸ τῶν ἀφελε-
στέρων πλῆθος τὸ ταττόμενον ὑπ᾽ ἐκείνῳ, ὅτ᾽ ἂν ἴδῃ τὸν
ἡγούμενον ἡττηθέντα, καὶ οὐδὲν ἔχοντα πρὸς τοὺς ἀντιλέγον-
τας εἰπεῖν, οὐ τὴν ἀσθένειαν τὴν ἐκείνου τῆς ἥττης, ἀλλὰ
τὴν τοῦ δόγματος αἰτιῶνται [3]) σαθρότητα· καὶ διὰ τὴν τοῦ
ἑνὸς ἀπειρίαν, ὁ πολὺς λεὼς εἰς ἔσχατον ὄλεθρον καταφέρεται.
Κἂν γὰρ μὴ πάντη γένωνται τῶν ἐναντίων, ἀλλ᾽ ὅμως, ὑπὲρ
ὧν θαῤῥεῖν εἶχον, ἀμφιβάλλειν ἀναγκάζονται· καὶ οἷς μετὰ πί-
στεως προσῄεσαν ἀκλινοῦς, οὐκ ἔτι μετὰ τῆς αὐτῆς δύνανται
προσέχειν στεῤῥότητος, ἀλλὰ τοσαύτη ζάλη ταῖς ἐκείνων εἰσοι-
κίζεται ψυχαῖς ἀπὸ τῆς ἥττης τοῦ διδασκάλου, ὡς καὶ εἰς ναυά-
γιον τελευτῆσαι τὸ κακόν. Ὅσος δὲ ὄλεθρος, καὶ ὅσον συνά- 447
γεται πῦρ εἰς τὴν ἀθλίαν κεφαλὴν ἐκείνου, καθ᾽ ἕκαστον τῶν
ἀπολλυμένων τούτων· οὐδὲν δεήσῃ παρ᾽ ἐμοῦ μαθεῖν, αὐτὸς
ἅπαντα εἰδὼς ἀκριβῶς. Τοῦτο οὖν ἀπονοίας, [4]) τοῦτο κενο- 448
δοξίας, τὸ μὴ θελῆσαι τοσούτοις ἀπωλείας αἴτιον γενέσθαι,

---

1) *ἀγών.* Notabilis locus de judicio controversiarum.

2) *ἔμπειρον.* Ambrosius: *Si polleat episcopus sapientia, ut non solum creditum sibi populum sufficienter doceat, verum etiam et cunctarum queat haeresium contradictiones a catholica repellere ecclesia, ne sua* imperitia *imperitos minime doceat, et hujusmodi casu praeventus eveniat illi quod scriptum est:* Caeco caecus ducatum praebens etc. *qui vero talem se ut diximus esse ignorat, sacerdotium minime appetat, nec locum alterius usurpare praesumat, praesertim illius, qui fulgore suae sapientiae populorum potest corda lustrare.* de Dign. sac. c. 4.

3) *αἰτιῶνται ἥττης.* *αἰτιῶμαι* varie construitur, §. 17. 287. h. l. cum genitivo. [Vid. *Sturz.* Lex. Xenoph. 1. pag. 93 sq. *L.*]

4) *τοῦτο οὖν ἀπονοίας.* Interrogatio: cujus vim declarat *Isidorus Pelus.* *ταῖς μὲν ἀποφάσεσι πολλοὶ καὶ ἀντιλέγειν τολμῶσι· τὰ δὲ κατὰ ἐπερώτησιν προαγόμενα καὶ πείθει καὶ ἐπιστομίζει, καὶ πραότητος δόξαν τῷ λέγοντι περιτίθησι.* Ep. 184. lib. 3.

μηδὲ ἐμαυτῷ μείζονα προξενῆσαι τιμωρίαν τῆς νῦν ἀποκειμένης ἐκεῖ; καὶ τίς ἂν ταῦτα φήσειεν; οὐδείς, πλὴν εἴ τις μάτην μέμφεσθαι βούλοιτο, καὶ ἐν ταῖς ἀλλοτρίαις φιλοσοφεῖν συμφοραῖς. [5])

---

5) *ἐν ταῖς — συμφοραῖς.* *Summo et indefesso studio aliis mala parare.* Cf. Isocr. Panegyr. cap. I., ubi vid. *Morus* pag. 6. et p. 9. *L.*

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ Ε'.

Τάδε ἔνεστιν ἐν τῷ ε' λόγῳ.

α'. Ὅτι πολλοῦ πόνου καὶ σπουδῆς αἱ ἐν τῷ κοινῷ ὁμιλίαι δέονται.
β'. Ὅτι τὸν εἰς τοῦτο τεταγμένον καὶ ἐγκωμίων ὑπερορᾶν χρὴ, καὶ δύνασθαι λέγειν.
γ'. Ὅτι ἂν μὴ ἀμφότερα ἔχῃ, ἄχρηστος ἔσται τῷ πλήθει.
δ'. Ὅτι μάλιστα βασκανίας τοῦτον δεῖ καταφρονεῖν.
ε'. Ὅτι ὁ λόγους εἰδὼς, πλείονος δεῖται σπουδῆς, ἢ ὁ ἀμαθής.
ζ'. Ὅτι τῆς ἀλόγου τῶν πολλῶν ψήφου, οὔτε πάντη καταφρονεῖν, οὔτε πάντη φροντίζειν δεῖ.
η'. Ὅτι πρὸς τὸ τῷ Θεῷ ἀρέσκον μόνον δεῖ τοὺς λόγους ῥυθμίζειν.
θ'. Ὅτι ὁ μὴ καταφρονῶν ἐπαίνων, πολλὰ ὑποστήσεται δεινά.

Ὅσης μὲν ἐμπειρίας τῷ διδασκάλῳ δεῖ πρὸς τοὺς ὑπὲρ τῆς 449
ἀληθείας ἀγῶνας, ἱκανῶς ἡμῖν ἀποδέδεικται. Ἔχω δέ τι καὶ πρὸς τούτοις ἕτερον μυρίων αἴτιον κινδύνων εἰπεῖν, μᾶλλον δὲ οὐκ ἐκεῖνο εἴποιμ' ἂν αἴτιον ἔγωγε, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτῷ χρήσασθαι [1]) καλῶς· ἐπεὶ τόγε πρᾶγμα αὐτὸ σωτηρίας τε καὶ πολλῶν γίνεται πρόξενον ἀγαθῶν, ὅτ' ἂν τοὺς διακονουμένους εὕρῃ σπουδαίους τε ἄνδρας καὶ ἀγαθούς. τί οὖν τοῦτό ἐστιν; ὁ πολὺς πόνος ὁ περὶ τὰς διαλέξεις [2]) τὰς κοινῇ
πρὸς τὸν λαὸν γινομένας ἀναλισκόμενος. Πρῶτον μὲν γὰρ τὸ 450
πλέον τῶν ἀρχομένων οὐκ ἐθέλουσιν ὡς πρὸς διδασκάλους διακεῖσθαι τοὺς λέγοντας, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ὑπερβάντες ἀντιλαμβάνουσι τὴν τῶν θεατῶν τῶν ἐν τοῖς ἔξωθεν

---

1) χρήσασθαι. **Montefalconius** scripsit χρῆσθαι, non male. Eandem lectionem habet etiam **Hughes**. *L.*

2) διαλέξεις. Nam *ars praedicandi est facultas hominem alliciendi ad virtutes et contemplationem divinam, ex sanctarum Scripturarum promulgatione*, quae definitio est *Jo. Reuchlini* in Libro congestorum de arte praedicandi, quem anno MDII. Denkendorfii emisit. [Paulo post ab initio §. 450. poscit ipse contextus, ut legamus διακεῖσθαι πρὸς τοὺς λέγοντας. *L.*]

καθεζομένων ἀγῶσι.[3] καὶ καθάπερ[4] ἐκεῖ τὸ πλῆθος μερί-
ζεται,[5] καὶ οἱ μὲν τούτῳ, οἱ δὲ ἐκείνῳ προσνέμουσιν[6] ἑαυ-
τούς· οὕτω δὴ καὶ ἐνταῦθα διαιρεθέντες, οἱ μὲν μετὰ τούτου,
οἱ δὲ μετὰ ἐκείνου γίνονται,[7] πρὸς χάριν καὶ πρὸς ἀπέ-
451 χθειαν[8] ἀκούοντες τῶν λεγομένων. Καὶ οὐ τοῦτο μόνον ἐστὶ
τὸ χαλεπὸν, ἀλλὰ καὶ ἕτερον οὐδὲν ἔλαττον τούτου. Ἢν γάρ
τινα συμβῇ τῶν λεγόντων μέρος τι τῶν ἑτέροις πονηθέντων
ἐνυφῆναι τοῖς λόγοις αὐτοῦ, πλείονα[9] τῶν τὰ χρήματα κλε-

---

3) *ἀγῶσι.* Scenicorum aut sophistarum. §. 452. [Applaudebant v. c. ut in ludis scenicis. Cf. *Schroeckh's chr. Kirchengesch.* T. X, p. 320. „*Die Zuhörer der christlichen Lehrer in diesen Zeiten pflegten ihre freudige Theilnehmung an Predigten, die ihnen vortrefflich zu seyn dünkten, auf mancherlei Weise an den Tag zu legen. Bald riefen sie ihnen laute Lobsprüche und Aufmunterungen zu. Der Name eines Rechtgläubigen, eines dreizehnten Apostels, und andere mehr, erklangen oft aus einem Munde, der zu unverständigem Tadel eben so bereit war, als zu unsinnigen Lobpreisungen. Bald wollten sie zu erkennen geben, wie wohl sie dasjenige verständen, was der Lehrer sagte, und im Begriff war, hinzuzusetzen. Daher fielen sie ihm, wenn er eine biblische Stelle anführte, ins Wort, und brachten sie eher zu Ende, als er es thun konnte. Sie erhuben auch wohl ein ganz verworrenes Geschrei der Bewunderung und des Vergnügens, ohne eigene Worte; bewegten die Hände, sprangen in die Höhe, wehten ihre Schweiss- und Schnupftücher herum, und nahmen noch andere Gebehrden vor.*“ Chrysostomus quum saepius hujusmodi plausus tulisset, non sine ira passim in suis homiliis hanc ob causam vituperavit auditores suos. Vid. Chrysost. Homil. XXX. in Act. Apost. T. IX, p. 238. ed. *Montef.* Cf. *Schroeckh's K. G.* l. l. pag. 321—324. T. V, p. 912. ed. Antverp. *Schroeckh.* l. l. p. 325. Habemus etiam singularem de hoc abusu librum: *Franzisc. Bernardin. Ferrarii de veterum Acclamationibus et Plausu.* Mediolan. 1627. 4. quocum cf. *Heinichen.* ad Eusebii H. E. VII, 30. *L.*]

4) *καθάπερ.* Hoc, sequente οὕτω, negat *Perionius* poni, at ponitur hic et saepe; saepius tamen ὥσπερ. §. 431. [Cf. 1. Cor. XII, 12. 2. Cor. VIII, 11. vid. *Wahl.* in Cl. N. T. T. I, pag. 766. *L.*]

5) *μερίζεται, in partes scinditur.* Obtinet hunc significatum verbum μερίζεσθαι imprimis in N. T. Vid. *Krause* ad 1. Cor. I, 13. et *Wahl.* in Clav. N. T. T. II, p. 67. coll. Polyb. VIII, 23. 9. *L.*

6) *προσνέμουσιν.* Magna erat horum favorum vanitas. vid. *Antonin.* l. 1. c. 5. et not. Gatakeri: maximeque *Franc. Bern.* Ferrarii libros 7. de Veterum acclam. et plausu. [Vid. supra not. 3. *L.*]

7) *γίνεσθαι μετά τινος* dicitur de hominibus, qui stant a partibus alicujus. Cf. Xenoph. Hist. Gr. IV, 1, 34. Vid. *Wahl.* in Clav. N. T. T. I, p. 238. 4. b. *L.*

8) *καὶ πρὸς ἀπέχθειαν.* Rectius sine dubio *Montefalconius* ex quibusdam Mss. scripsit ἢ πρὸς ἀπέχθειαν. *Vel* ad gratiam, *vel* ad odium aures dicentibus accommodantes. *L.*

9) *πλείονα.* Unde *plagium* literarium, non modo *furtum* dicitur, interdum etiam *sacrilegium* dici potest. Vid. Jer. 23, 30. de

πτόντων ὑφίσταται ὀνείδη· πολλάκις δὲ οὐδὲ λαβὼν παρ᾽ οὐ-
δενὸς οὐδὲν, ἀλλ᾽ ὑποπτευθεὶς μόνον, τὰ τῶν ἑαλωκότων
ἔπαθεν. καὶ τί λέγω τῶν ἑτέροις πεπονημένων; αὐτὸν τοῖς
εὑρέμασι τοῖς ἑαυτοῦ συνεχῶς χρήσασθαι οὐκ ἔνι. Οὐ γὰρ 452
πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν ἀκούειν εἰθίσθησαν οἱ πολ-
λοὶ, καθάπερ τραγῳδῶν ἢ κιθαρῳδῶν καθήμενοι δικασταί. 10)
καὶ ἡ τοῦ λόγου δύναμις, ἣν ἐξεβάλομεν 11) νῦν, οὕτως ἐνταῦθα
γίνεται ποθεινὴ, ὡς οὐδὲ τοῖς σοφισταῖς, ὅτ᾽ ἂν πρὸς ἀλλή-
λους ἀγωνίζεσθαι ἀναγκάζωνται. Γενναίας οὖν δεῖ κἀνταῦθα 453
ψυχῆς, καὶ πολὺ τὴν ἡμετέραν ὑπερβαινούσης σμικρότητα, ἵνα
τὴν ἄτακτον καὶ ἀνωφελῆ τοῦ πλήθους ἡδονὴν κολάζῃ, καὶ
πρὸς τὸ ὠφελιμώτερον μετάγειν δύνηται τὴν ἀκρόασιν· ὡς
αὐτῷ τὸν λαὸν ἕπεσθαι καὶ εἴκειν, ἀλλὰ μὴ αὐτὸν ταῖς ἐκεί-
νων ἄγεσθαι ἐπιθυμίαις. Τούτου δὲ οὐδαμῶς ἐστιν ἐπιτυχεῖν, 454
ἀλλ᾽ ἢ διὰ τούτοιν τοῖν δυοῖν, τῆς τε τῶν ἐπαίνων ὑπερ-
οψίας, καὶ τῆς ἐν τῷ λέγειν δυνάμεως.

II. Κἂν γὰρ τὸ ἕτερον ἀπῇ, τὸ λειπόμενον ἄχρηστον 455
γίνεται τῇ διαζεύξει θατέρου. 1) ἄν τε γὰρ ἐπαίνων ὑπερορῶν
μὴ προσφέρῃ 2) διδασκαλίαν τὴν ἐν χάριτι καὶ ἅλατι ἠρτυμέ-
νην, 3) εὐκαταφρόνητος ὑπὸ τῶν πολλῶν γίνεται, οὐδὲν ἀπὸ

---

furto prophetico. [*Cramerus* hunc locum ita in linguam nostram transtulit: „*Wenn sichs zuträgt, dass einige das, was andre ausgearbeitet haben, in ihre Predigten herübernehmen, so setzen sie sich den Vorwürfen aus, dass sie einen Diebstahl begangen, und sich mit fremden Gütern bereichert haben.*“ *L.*]

10) *δικασταί.* Quippe Athenis certi censores fuere, qui de comicis et comoediis judicarunt. Notat hoc Zenobius ex Epicharmo in Adagio: *ἐν πέντε κριτῶν γοῦνασι κεῖται*, ubi sic scribit: *εἴρηται δὲ ἡ πορoιμία παρόσον πέντε κριταὶ τοὺς κωμικοὺς ἔκρινον.* Idem dicit Suidas. Cf. Hesych. in *πέντε κριταί*, et *Lindenbrog*. ad Terent. Andr. Prolog. v. 27. *L.*

11) *ἣν ἐξεβάλομεν.* Scil. §. 423 s.

1) *τῇ διαζεύξει θατέρου*, *quum altera virtus ab altera disjuncta sit.* Sensus: Utroque opus est, et laudum despicatione et dicendi facultate. Si alterum desit, alterum, quod reliquum est, eo fit inutile, quod ab altero disjunctum est. *Wenn eins fehlt, so hilft das andere eben darum, dass es von dem andern getrennt wird, nichts. L.*

2) *προσφέρῃ.* Alii *προφέρῃ*. *Montef.* Recte vet. int. *proferat.* Idem verbum, §. 470.

3) *χάριτι — ἠρτυμένην*, *gratia plenam et sale conditam.* Verbum *ἀρτύειν*, quod apud antiquiores scriptores Graecos est apparare, *instruere*, serioribus scriptoribus est: *condire.* Vid. *Passow* in Lex. s. h. v. Intpp. ad Marc. IX, 50. Luc. XIV, 34. Metaphorice, ut h. l., usurpatur h. v. etiam in N. T. Coloss. IV, 6., ad

τῆς μεγαλοψυχίας κερδάνας ἐκείνης· ἄν τε τοῦτο καλῶς κατορθώσας τὸ μέρος, τῆς ἀπὸ τῶν κρότων [4]) δόξης ἥττων ὢν [5]) τύχῃ, εἰς ταὐτὸν πάλιν περιίσταται τὰ τῆς ζημίας [6]) αὐτῷ τε καὶ τοῖς πολλοῖς, πρὸς χάριν [7]) τῶν ἀκουόντων μᾶλλον ἢ πρὸς ὠφέλειαν [8]) λέγειν μελετῶντι, [9]) διὰ τὴν τῶν ἐπαίνων

---

quem locum Chrysostomus respexisse videtur. Nam verba apostoli ita sonant: ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος. Ex hoc ipso autem loco Paulino luce clarius apparet, vocabula ἐν χάριτι ap. Chrysost. cum participio ἠρτυμένην non posse arcte conjungi. *L.*

4) *κρότων.* Frequens apud veteres primum in theatro, deinde in schola, convivio, foro, senatu, denique in ipsis Christianorum templis acclamatio et plausus; ut vel ex Augustini et Chrysostomi Homiliis patet. De quo *Lud. Cresollius* l. 3. Theat. rhet. c. 20. *Fronto Ducaeus* in Not. ad Chrysost. Hom. 2. ad Pop. Ant. *Is. Casaubonus* ad Vulc. Gall. p. 198 s. *Rittershus.* l. 3. Sacr. lect. c. 22. *Ferrarius* l. 5. op. cit. c. 1—12. *Suicerus* in Thes. eccl. Eam consuetudinem, quae et gentibus scandalum et ipsis doctoribus periculum afferebat, in concionibus sacris hodie sublatum penitus ab ecclesia, usque ad tempora Bernardi perdurasse, ex Bernardo notat Ferrarius. Voluerant pii doctores populum dedocere plausum, sed non potuerant: quod cum viderent, ita eum interdum comprobarunt, ut populum retinerent et ad pietatem inflammarent. conf. Cresoll. p. 299. Porro tanta vis erat consuetudinis, ut nonnulli leviora dicta, vel etiam ea, quae necdum percepissent, laudarent; atque ut uno quodam tempore et Chrysostomus Homilia 30. in Acta plaudendi morem abrogandum diceret, et populus hanc ipsam ejus orationem plausu non semel interpellaret. Ipsum sodes evolve. [Cf. *Heinichen.* ad Euseb. Hist. Eccl. VII, 30. 22. T. II, 398. *L.*]

5) *ἥττων ὤν.* Sic Augustanus, (ut ἥττων γενόμενος, §. 486.) Editi, ἡττώμενος. Oppositum, κρείττων. §. 301.

6) *περιίσταται τὰ τῆς ζημίας.* Nominativus rei. coll. §. 120. [Vid. *Passow.* in Lex. s. h. v. *B.* cf. Homer. Il. IV, 332. Odyss. XI, 242. *L.*]

7) *πρὸς χάριν.* Vid. Serm. 61. de Diversis N. T. locis, cujus inscriptio est, ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν. [Acrius etiam in ejusmodi doctores, qui πρὸς χάριν τῶν ἀκουόντων verba faciant, invehitur Gregor. Nazianzen. Orat. Apologet. pro Fuga. p. 362. ed. *Hughes*: Οὐκ ἐσμὲν ὡς οἱ πολλοὶ, καπηλεύειν δυνάμενοι τὸν λόγον τῆς ἀληθείας, καὶ ἀναμιγνύναι τὸν οἶνον ὕδατι, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου λόγον τῷ πολλῷ καὶ εὐώνῳ καὶ χαμαὶ συρομένῳ καὶ ἐξιτήλῳ καὶ εἰκῇ ῥέοντι (ὥστε αὐτοί τι παρακερδαίνειν ἐκ τῆς καπηλείας) ἄλλοτε ἄλλως ὁμιλοῦντες τοῖς πλησιάζουσι, καὶ πᾶσι πρὸς χάριν, ἐγγαστρίμυθοί τινες ὄντες καὶ κενολόγοι· τὰς ἑαυτῶν ἡδονὰς θεραπεύοντες λόγοις ἐκ γῆς φωνουμένοις καὶ δυομένοις εἰς γῆν, ὡς ἂν μάλιστα εὐδοκιμοῖεν παρὰ τοῖς πολλοῖς, ὅτι μάλιστα ζημιοῦντες ἑαυτοὺς ἢ ἀπολλύντες, καὶ αἷμα ἀθῷον ἁπλουστέρων ψυχῶν ἐκχέοντες, ἐκ τῶν χειρῶν ἡμῶν ἐκζητηθήσομεν. Vid. *Heydenreich.* l. l. pag. 403. *L.*]

8) *ὠφέλειαν.* Scil. τῶν ἀκουόντων.

9) *μελετῶντι.* Hoc cohaeret cum αὐτῷ per hyperbaton. Ed. prima, μελετῶντος.

ἐπιθυμίαν. Καὶ καθάπερ ὁ μήτε πάσχων τι πρὸς τὰς εὐφη- 456
μίας, μήτε λέγειν εἰδὼς, οὔτε εἴκει [10]) ταῖς τοῦ πλήθους ἡδο-
ναῖς, οὔτε ὠφελεῖν ἀξιόλογόν τινα ὠφέλειαν δύναται, τῷ μη-
δὲν ἔχειν [11]) εἰπεῖν· οὕτω καὶ ὁ τῷ πόθῳ τῶν ἐγκωμίων ἑλ-
κόμενος, ἔχων ἀμείνους ἐργάσασθαι [12]) τοὺς πολλοὺς, ἀντὶ
τούτων παρέχει τὰ τέρψαι δυνάμενα μᾶλλον, τούτων [13]) τοὺς
ἐν τοῖς κρότοις θορύβους ὠνούμενος.

III. Ἀμφοτέρωθεν οὖν ἰσχυρὸν εἶναι τὸν ἄριστον ἄρχοντα 457
δεῖ, ἵνα μὴ θατέρῳ θάτερον ἀνατρέπηται. Ὅταν γὰρ ἀνα-
στὰς ἐν τῷ μέσῳ, λέγῃ τὰ τοὺς ῥαθύμως ζῶντας ἐπιστῦψαι [1])
δυνάμενα, εἶτα προσπταίῃ καὶ διακόπτηται, [2]) καὶ ὑπὸ τῆς
ἐνδείας ἐρυθριᾶν ἀναγκάζηται, διεῤῥύη τὸ κέρδος τῶν λεχθέν-
των εὐθέως. οἱ γὰρ ἐπιτιμηθέντες, ἀλγοῦντες τοῖς εἰρημένοις
καὶ οὐκ ἔχοντες ἑτέρως αὐτὸν ἀμύνασθαι, τοῖς τῆς ἀμαθίας
αὐτὸν βάλλουσι σκώμμασι, τούτοις οἰόμενοι τὰ ἑαυτῶν συ-
σκιάζειν ὀνείδη. Διὸ χρὴ, καθάπερ τινὰ ἡνίοχον ἄριστον, εἰς 458
ἀκρίβειαν τούτων ἀμφοτέρων ἥκειν [3]) τῶν καλῶν, ἵνα ἀμφό-
τερα πρὸς τὸ δέον αὐτῷ μεταχειρίζειν ἐξῇ. καὶ γὰρ ὅτ᾽ ἂν

---

10) *εἴκει.* Al. *εἴκειν.*

11) *τῷ μηδὲν ἔχειν.* Infinitivus cum articulo varios subit casus. *τὸ μὴ μειῶσαι.* §. 572. *ὑπὲρ τοῦ πληρῶσαι.* §. 252. *τῷ σκανδαλίσαι.* §. 573. *περὶ τοῦ πονεῖν.* §. 487.

12) *ἔχων ἀμείνους ἐργάσασθαι.* Sic ed. prima. Posteriores: *ἔχων ἀφ᾽ ὧν ἀμείνους ἐργάσασθαι δυνήσεται.* Sed *δυνήσεται* continetur in *ἔχων*, et in *ἀντὶ τούτων* Syllepsis est.

13) *τούτων τούς.* Pro *τούτων* al. *διὰ τούτων.* [Explicuerunt hunc genitivi cum verbis vendendi sive emendi significatum habentibus conjuncti usum ***Matthiae.*** Gr. Gr. II, 678. ***Hermann.*** ad ***Viger.*** p. 878 et imprimis ***Winer.*** Gr. N. T. pag. 169. ed. 3tiae. Hic nimirum Vir Doctus non sine acumine de hoc genitivo pretii, quem dicunt, haec monuit; „*Man könnte, nach Massgabe der Construction mit ἐκ, diesen Genitiv auf den Begriff des Hervorgehens zurückführen, da das, was für einen Preis gekauft u. s. w. wird, aus dem dafür hingegebenen Preise (Tauschmittel) für uns gleichsam hervorgeht.*“ Cf. ***Buttmann.*** §. 132, 5, 2. ***Thiersch.*** §. 255, 10. et ***Poppo*** ad Xenoph. Anabas. III, 3, 18. *L.*]

1) *ἐπιστῦψαι.* Rara metaphora. Sic *Alciphron* Epist. 3. lib. 1. *τὴν ἀπόνοιαν τῶν πλεόντων ἐπιστύφοντος, increpantis amentiam eorum, qui vitam undis committunt.* Adde notas *Bergleri.* [Vid. ***Passow.*** in Lex. s. h. v. *L.*]

2) *διακόπτηται.* *Si deinde labatur et decidat.* De verbo *προσπταίειν* vid. Herodot. IX, 107. et 101. I, 65. VI, 54. Hesych. *προσπταίοντες· προσκρούοντες, προσκόπτοντες.* Cf. Pollux. II, 199. *L.*

3) *εἰς ἀκρίβειαν ἥκειν.* Sic, *διὰ πάσης ἥκοντα τῆς ἐπιστήμης.* §. 401. Palatinus, *ἐληλακέναι.* utrumque Graecanice. [Hoc posterius verbum probavit *Hasselbach.* *L.*]

γράμματα, ἀλλὰ καὶ πρὸς τὸ βιοῦν εὖ οὐκ ἐλάχιστον ἡμῖν συντελεῖ μέρος. Τούτοις γὰρ ἔτι καὶ νῦν οἱ προεστῶτες χρώμενοι, τὴν ἁγνὴν παρθένον, ἣν ἡρμόσατο τῷ Χριστῷ, ῥυθμίζουσί τε καὶ πλάττουσι καὶ πρὸς τὸ πνευματικὸν ἄγουσι κάλλος· τούτοις καὶ τὰ ἐπισκήπτοντα αὐτῇ νοσήματα ἀποκρούονται, καὶ τὴν προσγινομένην διατηροῦσιν ὑγίειαν. Τοιαῦτα ἡμῖν ὁ ἰδιώτης [17]) κατέλιπε φάρμακα, καὶ τοσαύτην ἔχοντα δύναμιν, ὧν ἴσασι τὴν πεῖραν καλῶς, οἱ χρώμενοι συνεχῶς.
433 Καὶ ὅτι μὲν πολλὴν αὐτὸς ἐποιεῖτο τοῦ μέρους τούτου σπουδὴν, ἐκ τούτων δῆλον·

434 VIII. Ἄκουε δὲ καὶ τῷ μαθητῇ τί φησιν [1]) ἐπιστέλλων· Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ, καὶ τὸν ἀπὸ τούτου καρπὸν προστίθησι λέγων· Τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου. Καὶ πάλιν· Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, [2]) ἀνεξίκακον. Καὶ προϊὼν δέ φησι· Σὺ δὲ μένε [3]) ἐν οἷς ἔμαθες, καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά [4]) σε σοφίσαι· [5]) καὶ πάλιν· Πᾶσα γραφὴ θεόπνευστος, [6]) φησὶ, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον,

---

17) *ἰδιώτης.* Mimesis, cum insigni sententia.

1) *φησίν.* 1. Timoth. IV, 13. Locus posterior legitur 2. Timoth. 2, 24. *L.*

2) *διδακτικὸν*, *docentem. Cognitione est dignissimum, multa nomina, a philosophis adhuc in* ivus *usurpata, conjunctaque cum genitivis, a Cicerone fieri in* eus. *Perion.* in Arist. Eth. p. 16. Vulgatus 2. Tim. 2. *docibilem*, quod defendit *Goldast.* ad Paraen. veteres p. 79. exstat *J. M. Langii* Ex. *περὶ τοῦ διδακτικοῦ.*

3) *σὺ δὲ μένε.* 2. Tim. III, 14. et 15. *Montefalconius* pro *ἐπιστώθης* legit *ἐπιστεύθης*. Sed in omnibus Codd. est apud Paulum *ἐπιστώθης*, quod hanc ob causam etiam h. l. retinendum videtur, et vertendum: *quae certissime edoctus es. L.*

4) *τὰ δυνάμενα.* Hom. 9. in 2. ad Tim. *ἀντ' ἐμοῦ φησι τὰς γραφὰς ἔχεις· εἴτι βούλει μαθεῖν, ἐκεῖθεν δυνήσῃ. εἰ δὲ τιμοθέῳ ταῦτα ἔγραφε τῷ πνεύματος ἐμπεπλησμένῳ, πόσῳ μᾶλλον ἡμῖν.*

5) *σοφίσαι. Εἰς σωτηρίαν*, addunt Hoesch. et al. [Optime animadvertit ad h. l. Paulinum Theophylactus: *οὐχ ὥσπερ ἡ ἔξω γνῶσις σοφίζει τὸν ἄνθρωπον εἰς ἀπάτην καὶ σοφίσματα καὶ λογομαχίας, ἐξ ὧν ἀπώλεια ψυχῆς, οὕτω καὶ ἡ θεία γνῶσις, ἀλλ' αὐτὴ σοφίζει εἰς σωτηρίαν. Ποίαν; Οὐ τὴν δι' ἔργων, οὐ τὴν διὰ λόγων, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ. Ὁδηγοῦσι γὰρ αἱ ἅγιαι γραφαὶ τὸν ἄνθρωπον εἰς τὸ πιστεῦσαι Χριστῷ, σωτηρίαν αὐτῷ περιποιοῦντι. L.*]

6) *θεόπνευστος καὶ ὠφέλιμος. Καὶ*, et 2. Tim. 3, 16. coll. Homil. ad h. l. Deus scripturam inspiravit; Scriptura Deum

πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν [7]) τὴν ἐν δικαιοσύνῃ, ἵνα
ἄρτιος [8]) ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος. Ἄκουε δὲ καὶ τῷ Τίτῳ 435
περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως διαλεγόμενος τί προστί-
θησιν· Δεῖ γάρ, φησὶν, εἶναι τὸν ἐπίσκοπον ἀντεχόμενον τοῦ
κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ τοὺς ἀν-
τιλέγοντας ἐλέγχειν. Πῶς οὖν ἰδιώτης τις ὢν, ὥς οὗτοί φασι, 436
τοὺς ἀντιλέγοντας ἐλέγχειν δυνήσεται καὶ ἐπιστομίζειν; [9]) τίς
δὲ χρεία προσέχειν τῇ ἀναγνώσει καὶ ταῖς γραφαῖς, εἰ ταύτην
δεῖ τὴν ἰδιωτείαν ἀσπάζεσθαι; [10]) σκῆψις ταῦτα καὶ πρόφασις,
καὶ ῥαθυμίας καὶ ὄκνου προσχήματα. Ἀλλὰ τοῖς ἱερεῦσί (φη- 437
σι) [12]) ταῦτα διατάττεται. καὶ γὰρ περὶ ἱερέων ἡμῖν ὁ λόγος 438
νῦν. ὅτι δὲ καὶ τοῖς ἀρχομένοις, [12]) ἄκουε τί πάλιν ἑτέροις
ἐν ἑτέρᾳ ἐπιστολῇ παραινεῖ· [13]) Ὁ λόγος τοῦ Χριστοῦ ἐνοι-
κείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ. Καὶ πάλιν· Ὁ λό-
γος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς
δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Καὶ τὸ, πρὸς ἀπολογίαν ἑτοί-
μους εἶναι, ἅπασιν εἴρηται. Θεσσαλονικεῦσι δὲ ἐπιστέλλων·

---

spirat. Vid. *Ambros.* l. 3. de Spir. S. c. 18. item *Danhauer.* Hodosoph. p. 19 s.

7) *παιδείαν.* *Παίδευσιν*, ed. prima. [quod in textum recepit *Montefalconius*. Male. *L.*]

8) *ἄρτιος.* id. q. *ὁλόκληρος*, quo vocabulo reddidit voc. *ἄρτιος* Hesychius. Vid. *Heydenreich.* ad 2. Timoth. III, 17. pag. 200. coll. Theophr. Hist. plant. II, 7. *L.*

9) *ἐπιστομίζειν.* Vet. int. *in silentium cogere.* idem verbum Graecum, §. 405. 411. ubi ille: *frenare, comprimere.* Cum toto sermone, qui a §. 394. huc fluxit, mire in verbis juxta ac sensibus consonat Homilia 2. in ep. ad Tit. [De verbo *ἐπιστομίζειν* vid. *Wahl.* in Clav. N. T. s. h. v. *L.*]

10) *ἀσπάζεσθαι.* Similiter *Lutherus* noster jubet verbi ministros summum impendere studium et nocturna diurnaque manu versare biblia sacra, in praefatione Spangenbergi orationibus sacris praemissa pag. T. XIV. H. p. 376. „*Fürwahr du kannst nicht zu viel in der Schrift lesen, und was du liesest, kannst du nicht zu wohl lesen, und was du wohl liesest, kannst du nicht zu wohl verstehen, und was du wohl verstehest, kannst du nicht zu wohl lehren, und was du wohl lehrest, kannst du nicht zu wohl leben. Der Teufel ists, unser Fleisch ists, die wider uns wüthen und toben. Darum, liebe Herrn Prediger, betet, leset, studiret, seid fleissig; fürwahr, es ist nicht schnarchens und schlafens Zeit: braucht eure Gabe, die euch vertraut ist.*“ *L.*

11) *φησί.* Ellipsin supplet. *Greg. Naz.* *φησὶν ὁ εἰπών.*

12) *ἀρχομένοις.* Haec stare non possunt, sublato jure publico legendae Scripturae sacrae.

13) *παραινεῖ.* Leguntur haec effata Coloss. III, 16. et IV, 6. *L.*

439 Οἰκοδομεῖτε, [14]) φησὶν, εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. Ὅτ' ἂν δὲ περὶ ἱερέων διαλέγηται· Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς [15]) ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν
440 λόγῳ καὶ διδασκαλίᾳ. Καὶ γὰρ οὗτος ὁ τελεώτατος τῆς διδασκαλίας ὅρος, [16]) ὅτ' ἂν καὶ δι' ὧν πράττουσι, καὶ δι' ὧν λέγουσι, τοὺς μαθητευομένους ἐνάγωσι πρὸς τὸν μακάριον βίον, ὃν ὁ Χριστὸς διετάξατο. Οὐ γὰρ ἀρκεῖ τὸ ποιεῖν πρὸς τὸ
441 διδάσκειν· καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Σωτῆρος. Ὃς γὰρ ἂν, φησὶ, ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται. Εἰ δὲ τὸ ποιῆσαι, διδάξαι ἦν, περιττῶς [17]) τὸ δεύτερον ἔκειτο· καὶ γὰρ ἤρκει εἰπεῖν, ὃς ἂν ποιήσῃ, μόνον. νῦν δὲ τῷ διελεῖν ἀμφότερα δείκνυσιν, ὅτι τὸ μὲν τῶν ἔργων ἐστὶ, τὸ δὲ τοῦ λόγου, καὶ ἀλλήλων δεῖται ἑκάτερα πρὸς τὴν τελείαν οἰ-
442 κοδομήν. Ἢ οὐκ ἀκούεις, τί φησι τοῖς πρεσβυτέροις Ἐφεσίων τὸ τοῦ Χριστοῦ σκεῦος τὸ ἐκλεκτόν· Διὸ γρηγορεῖτε, [18]) μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν. Τίς γὰρ χρεία τῶν δακρύων, ἢ τῆς διὰ τῶν λόγων νουθεσίας, οὕτω τοῦ
443 βίου αὐτῷ λάμποντος τοῦ ἀποστολικοῦ; [19]) Ἀλλὰ πρὸς μὲν τὴν τῶν ἐντολῶν ἐργασίαν, δύναιτ' ἂν ἡμῖν οὗτος πολὺ συμβαλέσθαι μέρος· οὐδὲ γὰρ ἐκεῖ μόνον αὐτὸν τὸ πᾶν κατορθοῦν φαίην ἄν.

---

14) οἰκοδομεῖτε. 1. Thessal. V, 11. *L.*

15) διπλῆς τιμῆς. 1. Timoth. V, 17. Cf. de hoc loco **Schleiermacher**. *Ueber den sogenannten ersten Brief des Paulos an den Timotheos.* Berol. 1807. pag. 212 sq., contra quem disputavit **Henricus Planck** in libro: *Bemerkungen über den ersten Paulinischen Brief an den Timotheus.* Gotting. 1808. pag. 210 sq. *L.*

16) ὁ τελεώτατος τῆς διδασκαλίας ὅρος. Unus cod. ὁ τελειότατος τῆς παιδείας τρόπος. **Montef.** Vetus int. *perfectus docendi modus.* [quae interpretatio sane adjuvat lectionem illam a **Montefalconio** notatam. *L.*]

17) περιττῶς. Agnoscit auctor, nil frustra dici in Scriptura. *Origenes*, οὐδὲν ΠΑΡΕΛΚΕΙ τῶν γεγραμμένων. Sic quoque Chrysostomus alibi; de quo conf. *Suicer.* Thes. P. I. col. 786.

18) γρηγορεῖτε. Act. XX, 31. *L.*

19) βίου — ἀποστολικοῦ. Εὐαγγελικὴ πολιτεία, ut Basilius M. vocat et describit, est ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμὸς, ἀγγαρευόμενος προστίθει, τυπτόμενος ἐπίβαλλε, ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπα, διωκόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, συσταυρώθητι τῷ Χριστῷ, ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν κύριον. Haec ex Basilio Suidas, ex utroque *Rittershusius* ad Isid. Pelus.

IX. Ὅταν δὲ ὑπὲρ δογμάτων ἀγὼν [1]) κινῆται, καὶ πάν-
τες ἀπὸ τῶν αὐτῶν μάχωνται γραφῶν, ποίαν ἰσχὺν ὁ βίος ἐν-
ταῦθα ἐπιδεῖξαι δυνήσεται; Τί τῶν πολλῶν ὄφελος ἱδρώτων, 444
ὅτ᾽ ἂν μετὰ τοὺς μόχθους ἐκείνους, ἀπὸ τῆς πολλῆς τις ἀπει-
ρίας εἰς αἵρεσιν ἐκπεσὼν ἀποσχισθῇ τοῦ σώματος τῆς ἐκκλη-
σίας; ὅπερ οἶδα πολλοὺς παθόντας ἐγώ. ποῖον αὐτῷ κέρδος
τῆς καρτερίας; οὐδὲν, ὥσπερ οὖν οὐδὲ ὑγιοῦς πίστεως, τῆς
πολιτείας διεφθαρμένης. Διὰ δὴ ταῦτα μάλιστα πάντων ἔμ- 445
πειρον [2]) εἶναι δεῖ τῶν τοιούτων ἀγώνων, τὸν διδάσκειν τοὺς
ἄλλους λαχόντα. Εἰ γὰρ καὶ αὐτὸς ἕστηκεν ἐν ἀσφαλείᾳ, μη- 446
δὲν ὑπὸ τῶν ἀντιλεγόντων βλαπτόμενος· ἀλλὰ τὸ τῶν ἀφελε-
στέρων πλῆθος τὸ ταττόμενον ὑπ᾽ ἐκείνῳ, ὅτ᾽ ἂν ἴδῃ τὸν
ἡγούμενον ἡττηθέντα, καὶ οὐδὲν ἔχοντα πρὸς τοὺς ἀντιλέγον-
τας εἰπεῖν, οὐ τὴν ἀσθένειαν τὴν ἐκείνου τῆς ἥττης, ἀλλὰ
τὴν τοῦ δόγματος αἰτιῶνται [3]) σαθρότητα· καὶ διὰ τὴν τοῦ
ἑνὸς ἀπειρίαν, ὁ πολὺς λεὼς εἰς ἔσχατον ὄλεθρον καταφέρεται.
Κἂν γὰρ μὴ πάντη γένωνται τῶν ἐναντίων, ἀλλ᾽ ὅμως, ὑπὲρ
ὧν θαῤῥεῖν εἶχον, ἀμφιβάλλειν ἀναγκάζονται· καὶ οἷς μετὰ πί-
στεως προσῄεσαν ἀκλινοῦς, οὐκ ἔτι μετὰ τῆς αὐτῆς δύνανται
προσέχειν στεῤῥότητος, ἀλλὰ τοσαύτη ζάλη ταῖς ἐκείνων εἰσοι-
κίζεται ψυχαῖς ἀπὸ τῆς ἥττης τοῦ διδασκάλου, ὡς καὶ εἰς ναυά-
γιον τελευτῆσαι τὸ κακόν. Ὅσος δὲ ὄλεθρος, καὶ ὅσον συνά- 447
γεται πῦρ εἰς τὴν ἀθλίαν κεφαλὴν ἐκείνου, καθ᾽ ἕκαστον τῶν
ἀπολλυμένων τούτων· οὐδὲν δεήσῃ παρ᾽ ἐμοῦ μαθεῖν, αὐτὸς
ἅπαντα εἰδὼς ἀκριβῶς. Τοῦτο οὖν ἀπονοίας, [4]) τοῦτο κενο- 448
δοξίας, τὸ μὴ θελῆσαι τοσούτοις ἀπωλείας αἴτιον γενέσθαι,

---

1) *ἀγών.* Notabilis locus de judicio controversiarum.

2) *ἔμπειρον.* Ambrosius: *Si polleat episcopus sapientia, ut non solum creditum sibi populum sufficienter doceat, verum etiam et cunctarum queat haeresium contradictiones a catholica repellere ecclesia, ne sua* imperitia *imperitos minime doceat, et hujusmodi casu praeventus eveniat illi quod scriptum est:* Caeco caecus ducatum praebens etc. *qui vero talem se ut diximus esse ignorat, sacerdotium minime appetat, nec locum alterius usurpare praesumat, praesertim illius, qui fulgore suae sapientiae populorum potest corda lustrare.* de Dign. sac. c. 4.

3) *αἰτιῶνται ἥττης.* *αἰτιῶμαι* varie construitur, §. 17. 287. h. l. cum genitivo. [Vid. *Sturz.* Lex. Xenoph. I. pag. 93 sq. *L.*]

4) *τοῦτο οὖν ἀπονοίας.* Interrogatio: cujus vim declarat *Isidorus Pelus.* *ταῖς μὲν ἀποφάσεσι πολλοὶ καὶ ἀντιλέγειν τολμῶσι· τὰ δὲ κατὰ ἐπερώτησιν προαγόμενα καὶ πείθει καὶ ἐπιστομίζει, καὶ πραότητος δόξαν τῷ λέγοντι περιτίθησι.* Ep. 184. lib. 3.

μηδὲ ἐμαυτῷ μείζονα προξενῆσαι τιμωρίαν τῆς νῦν ἀποκειμένης ἐκεῖ; καὶ τίς ἂν ταῦτα φήσειεν; οὐδείς, πλὴν εἴ τις μάτην μέμφεσθαι βούλοιτο, καὶ ἐν ταῖς ἀλλοτρίαις φιλοσοφεῖν συμφοραῖς. 5)

---

5) ἐν ταῖς — συμφοραῖς. *Summo et indefesso studio aliis mala parare.* Cf. Isocr. Panegyr. cap. I., ubi vid. *Morus* pag. 6. et p. 9. *L.*

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ
ΛΟΓΟΣ Ε′.

Τάδε ἔνεστιν ἐν τῷ ε′ λόγῳ.

α′. Ὅτι πολλοῦ πόνου καὶ σπουδῆς αἱ ἐν τῷ κοινῷ ὁμιλίαι δέονται.
β′. Ὅτι τὸν εἰς τοῦτο τεταγμένον καὶ ἐγκωμίων ὑπερορᾷν χρὴ, καὶ δύνασθαι λέγειν.
γ′. Ὅτι ἂν μὴ ἀμφότερα ἔχῃ, ἄχρηστος ἔσται τῷ πλήθει.
δ′. Ὅτι μάλιστα βασκανίας τοῦτον δεῖ καταφρονεῖν.
ε′. Ὅτι ὁ λόγους εἰδὼς, πλείονος δεῖται σπουδῆς, ἢ ὁ ἀμαθής.
ζ′. Ὅτι τῆς ἀλόγου τῶν πολλῶν ψήφου, οὔτε πάντη καταφρονεῖν, οὔτε πάντη φροντίζειν δεῖ.
η′. Ὅτι πρὸς τὸ τῷ Θεῷ ἀρέσκον μόνον δεῖ τοὺς λόγους ῥυθμίζειν.
θ′. Ὅτι ὁ μὴ καταφρονῶν ἐπαίνων, πολλὰ ὑποστήσεται δεινά.

Ὅσης μὲν ἐμπειρίας τῷ διδασκάλῳ δεῖ πρὸς τοὺς ὑπὲρ τῆς 449
ἀληθείας ἀγῶνας, ἱκανῶς ἡμῖν ἀποδέδεικται. Ἔχω δέ τι καὶ πρὸς τούτοις ἕτερον μυρίων αἴτιον κινδύνων εἰπεῖν, μᾶλλον δὲ οὐκ ἐκεῖνο εἴποιμ᾽ ἂν αἴτιον ἔγωγε, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτῷ χρήσασθαι 1) καλῶς· ἐπεὶ τόγε πρᾶγμα αὐτὸ σωτηρίας τε καὶ πολλῶν γίνεται πρόξενον ἀγαθῶν, ὅτ᾽ ἂν τοὺς διακονουμένους εὕρῃ σπουδαίους τε ἄνδρας καὶ ἀγαθούς. τί οὖν τοῦτό ἐστιν; ὁ πολὺς πόνος ὁ περὶ τὰς διαλέξεις 2) τὰς κοινῇ
πρὸς τὸν λαὸν γινομένας ἀναλισκόμενος. Πρῶτον μὲν γὰρ τὸ 450
πλέον τῶν ἀρχομένων οὐκ ἐθέλουσιν ὡς πρὸς διδασκάλους διακεῖσθαι τοὺς λέγοντας, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ὑπερβάντες ἀντιλαμβάνουσι τὴν τῶν θεατῶν τῶν ἐν τοῖς ἔξωθεν

---

1) *χρήσασθαι.* ***Montefalconius*** scripsit *χρῆσθαι*, non male. Eandem lectionem habet etiam ***Hughes. L.***

2) *διαλέξεις.* Nam *ars praedicandi est facultas hominem alliciendi ad virtutes et contemplationem divinam, ex sanctarum Scripturarum promulgatione*, quae definitio est *Jo. Reuchlini* in Libro congestorum de arte praedicandi, quem anno MDII. Denkendorfii emisit. [Paulo post ab initio §. 450. poscit ipse contextus, ut legamus *διακεῖσθαι πρὸς τοὺς λέγοντας. L.*]

καθεζομένων ἀγῶσι.[3]) καὶ καθάπερ[4]) ἐκεῖ τὸ πλῆθος μερίζεται,[5]) καὶ οἱ μὲν τούτῳ, οἱ δὲ ἐκείνῳ προσνέμουσιν[6]) ἑαυτούς· οὕτω δὴ καὶ ἐνταῦθα διαιρεθέντες, οἱ μὲν μετὰ τούτου, οἱ δὲ μετὰ ἐκείνου γίνονται,[7]) πρὸς χάριν καὶ πρὸς ἀπέ-
451 χθειαν[8]) ἀκούοντες τῶν λεγομένων. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπὸν, ἀλλὰ καὶ ἕτερον οὐδὲν ἔλαττον τούτου. Ἢν γάρ τινα συμβῇ τῶν λεγόντων μέρος τι τῶν ἑτέροις πονηθέντων ἐνυφῆναι τοῖς λόγοις αὐτοῦ, πλείονα[9]) τῶν τὰ χρήματα κλε-

---

3) *ἀγῶσι.* Scenicorum aut sophistarum. §. 452. [Applaudebant v. c. ut in ludis scenicis. Cf. *Schroeckh's chr. Kirchengesch.* T. X, p. 320. „*Die Zuhörer der christlichen Lehrer in diesen Zeiten pflegten ihre freudige Theilnehmung an Predigten, die ihnen vortrefflich zu seyn dünkten, auf mancherlei Weise an den Tag zu legen. Bald riefen sie ihnen laute Lobsprüche und Aufmunterungen zu. Der Name eines Rechtgläubigen, eines dreizehnten Apostels, und andere mehr, erklangen oft aus einem Munde, der zu unverständigem Tadel eben so bereit war, als zu unsinnigen Lobpreisungen. Bald wollten sie zu erkennen geben, wie wohl sie dasjenige verständen, was der Lehrer sagte, und im Begriff war, hinzuzusetzen. Daher fielen sie ihm, wenn er eine biblische Stelle anführte, ins Wort, und brachten sie eher zu Ende, als er es thun konnte. Sie erhuben auch wohl ein ganz verworrenes Geschrei der Bewunderung und des Vergnügens, ohne eigene Worte; bewegten die Hände, sprangen in die Höhe, wehten ihre Schweiss- und Schnupftücher herum, und nahmen noch andere Gebehrden vor.*" Chrysostomus quum saepius hujusmodi plausus tulisset, non sine ira passim in suis homiliis hanc ob causam vituperavit auditores suos. Vid. Chrysost. Homil. XXX. in Act. Apost. T. IX, p. 238. ed. *Montef.* Cf. *Schroeckh's K. G.* l. l. pag. 321—324. T. V, p. 912. ed. Antverp. *Schroeckh.* l. l. p. 325. Habemus etiam singularem de hoc abusu librum: *Franzisc. Bernardin. Ferrarii de veterum Acclamationibus et Plausu.* Mediolan. 1627. 4. quocum cf. *Heinichen.* ad Eusebii H. E. VII, 30. *L.*]

4) *καθάπερ.* Hoc, sequente οὕτω, negat *Perionius* poni. at ponitur hic et saepe; saepius tamen ὥσπερ. §. 431. [Cf. 1. Cor. XII, 12. 2. Cor. VIII, 11. vid. *Wahl.* in Cl. N. T. T. I, pag. 766. *L.*]

5) *μερίζεται, in partes scinditur.* Obtinet hunc significatum verbum μερίζεσθαι imprimis in N. T. Vid. *Krause* ad 1. Cor. I, 13. et *Wahl.* in Clav. N. T. T. II, p. 67. coll. Polyb. VIII, 23. 9. *L.*

6) *προσνέμουσιν.* Magna erat horum favorum vanitas. vid. *Antonin.* l. 1. c. 5. et not. Gatakeri: maximeque *Franc. Bern.* Ferrarii libros 7. de Veterum acclam. et plausu. [Vid. supra not. 3. *L.*)

7) *γίνεσθαι μετά τινος* dicitur de hominibus, qui stant a partibus alicujus. Cf. Xenoph. Hist. Gr. IV, 1, 34. Vid. *Wahl.* in Clav. N. T. T. I, p. 238. 4. b. *L.*

8) *καὶ πρὸς ἀπέχθειαν.* Rectius sine dubio *Montefalconius* ex quibusdam Mss. scripsit ἢ πρὸς ἀπέχθειαν. *Vel* ad gratiam, *vel* ad odium aures dicentibus accommodantes. *L.*

9) *πλείονα.* Unde *plagium* literarium, non modo *furtum* dicitur. interdum etiam *sacrilegium* dici potest. Vid. Jer. 23, 30. de

πτόντων ὑφίσταται ὀνείδη· πολλάκις δὲ οὐδὲ λαβὼν παρ' οὐ-
δενὸς οὐδὲν, ἀλλ' ὑποπτευθεὶς μόνον, τὰ τῶν ἑαλωκότων
ἔπαθεν. καὶ τί λέγω τῶν ἑτέροις πεπονημένων; αὐτὸν τοῖς
εὑρέμασι τοῖς ἑαυτοῦ συνεχῶς χρήσασθαι οὐκ ἔνι. Οὐ γὰρ 452
πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν ἀκούειν εἰθίσθησαν οἱ πολ-
λοί, καθάπερ τραγῳδῶν ἢ κιθαρῳδῶν καθήμενοι δικασταί.[10])
καὶ ἡ τοῦ λόγου δύναμις, ἣν ἐξεβάλομεν[11]) νῦν, οὕτως ἐνταῦθα
γίνεται ποθεινή, ὡς οὐδὲ τοῖς σοφισταῖς, ὅτ' ἂν πρὸς ἀλλή-
λους ἀγωνίζεσθαι ἀναγκάζωνται. Γενναίας οὖν δεῖ κἀνταῦθα 453
ψυχῆς, καὶ πολὺ τὴν ἡμετέραν ὑπερβαινούσης σμικρότητα, ἵνα
τὴν ἄτακτον καὶ ἀνωφελῆ τοῦ πλήθους ἡδονὴν κολάζῃ, καὶ
πρὸς τὸ ὠφελιμώτερον μετάγειν δύνηται τὴν ἀκρόασιν· ὡς
αὐτῷ τὸν λαὸν ἕπεσθαι καὶ εἴκειν, ἀλλὰ μὴ αὐτὸν ταῖς ἐκεί-
νων ἄγεσθαι ἐπιθυμίαις. Τούτου δὲ οὐδαμῶς ἐστιν ἐπιτυχεῖν, 454
ἀλλ' ἢ διὰ τούτοιν τοῖν δυοῖν, τῆς τε τῶν ἐπαίνων ὑπερ-
οψίας, καὶ τῆς ἐν τῷ λέγειν δυνάμεως.

II. Κἂν γὰρ τὸ ἕτερον ἀπῇ, τὸ λειπόμενον ἄχρηστον 455
γίνεται τῇ διαζεύξει θατέρου.[1]) ἄν τε γὰρ ἐπαίνων ὑπερορῶν
μὴ προσφέρῃ[2]) διδασκαλίαν τὴν ἐν χάριτι καὶ ἅλατι ἠρτυμέ-
νην,[3]) εὐκαταφρόνητος ὑπὸ τῶν πολλῶν γίνεται, οὐδὲν ἀπὸ

---

furto prophetico. [*Cramerus* hunc locum ita in linguam nostram transtulit: „*Wenn sichs zuträgt, dass einige das, was andre ausgearbeitet haben, in ihre Predigten herübernehmen, so setzen sie sich den Vorwürfen aus, dass sie einen Diebstahl begangen, und sich mit fremden Gütern bereichert haben.*“ *L.*]

10) δικασταί. Quippe Athenis certi censores fuere, qui de comiciis et comoediis judicarunt. Notat hoc Zenobius ex Epicharmo in Adagio: ἐν πέντε κριτῶν γούνασι κεῖται, ubi sic scribit: εἴρηται δὲ ἡ παροιμία παρόσον πέντε κριταὶ τοὺς κωμικοὺς ἔκρινον. Idem dicit Suidas. Cf. Hesych. in πέντε κριταί, et *Lindenbrog.* ad Terent. Andr. Prolog. v. 27. *L.*

11) ἣν ἐξεβάλομεν. Scil. §. 423 s.

1) τῇ διαζεύξει θατέρου, *quum altera virtus ab altera disjuncta sit.* Sensus: Utroque opus est, et laudum despicatione et dicendi facultate. Si alterum desit, alterum, quod reliquum est, eo fit inutile, quod ab altero disjunctum est. *Wenn eins fehlt, so hilft das andere eben darum, dass es von dem andern getrennt wird, nichts. L.*

2) προσφέρῃ. Alii προφέρῃ. *Montef.* Recte vet. int. *proferat.* Idem verbum, §. 470.

3) χάριτι — ἠρτυμένην, *gratia plenam et sale conditam.* Verbum ἀρτύειν, quod apud antiquiores scriptores Graecos est apparare, *instruere*, serioribus scriptoribus est: *condire.* Vid. *Passow* in Lex. s. h. v. Intpp. ad Marc. IX, 50. Luc. XIV, 34. Metaphorice, ut h. l., usurpatur h. v. etiam in N. T. Coloss. IV, 6., ad

τῆς μεγαλοψυχίας κερδάνας ἐκείνης· ἄν τε τοῦτο καλῶς κατορθώσας τὸ μέρος, τῆς ἀπὸ τῶν κρότων [4]) δόξης ἥττων ὢν [5]) τύχῃ, εἰς ταὐτὸν πάλιν περιίσταται τὰ τῆς ζημίας [6]) αὐτῷ τε καὶ τοῖς πολλοῖς, πρὸς χάριν [7]) τῶν ἀκουόντων μᾶλλον ἢ πρὸς ὠφέλειαν [8]) λέγειν μελετῶντι, [9]) διὰ τὴν τῶν ἐπαίνων

---

quem locum Chrysostomus respexisse videtur. Nam verba apostoli ita sonant: ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος. Ex hoc ipso autem loco Paulino luce clarius apparet, vocabula ἐν χάριτι ap. Chrysost. cum participio ἠρτυμένην non posse arcte conjungi. *L.*

4) κρότων. Frequens apud veteres primum in theatro, deinde in schola, convivio, foro, senatu, denique in ipsis Christianorum templis acclamatio et plausus; ut vel ex Augustini et Chrysostomi Homiliis patet. De quo *Lud. Cresollius* l. 3. Theat. rhet. c. 20. *Fronto Ducaeus* in Not. ad Chrysost. Hom. 2. ad Pop. Ant. *Is. Casaubonus* ad Vulc. Gall. p. 198 s. *Rittershus.* l. 3. Sacr. lect. c. 22. *Ferrarius* l. 5. op. cit. c. 1—12. *Suicerus* in Thes. eccl. Eam consuetudinem, quae et gentibus scandalum et ipsis doctoribus periculum afferebat, in concionibus sacris hodie sublatum penitus ab ecclesia, usque ad tempora Bernardi perdurasse, ex Bernardo notat Ferrarius. Voluerant pii doctores populum dedocere plausum, sed non potuerant: quod cum viderent, ita eum interdum comprobarunt, ut populum retinerent et ad pietatem inflammarent. conf. Cresoll. p. 299. Porro tanta vis erat consuetudinis, ut nonnulli leviora dicta, vel etiam ea, quae necdum percepissent, laudarent; atque ut uno quodam tempore et Chrysostomus Homilia 30. in Acta plaudendi morem abrogandum diceret, et populus hanc ipsam ejus orationem plausu non semel interpellaret. Ipsum sodes evolve. [Cf. *Heinichen.* ad Euseb. Hist. Eccl. VII, 30. 22. T. II, 398. *L.*]

5) ἥττων ὤν. Sic Augustanus, (ut ἥττων γενόμενος, §. 486.) Editi, ἡττώμενος. Oppositum, κρείττων. §. 301.

6) περιίσταται τὰ τῆς ζημίας. Nominativus rei. coll. §. 120. [Vid. *Passow.* in Lex. s. h. v. *B.* cf. Homer. Il. IV, 332. Odyss. XI, 242. *L.*]

7) πρὸς χάριν. Vid. Serm. 61. de Diversis N. T. locis, cujus inscriptio est, ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὰ πρὸς χάριν δημηγορεῖν. [Acrius etiam in ejusmodi doctores, qui πρὸς χάριν τῶν ἀκουόντων verba faciant, invehitur Gregor. Nazianzen. Orat. Apologet. pro Fuga. p. 362. ed. *Hughes*: Οὐκ ἐσμὲν ὡς οἱ πολλοὶ, καπηλεύειν δυνάμενοι τὸν λόγον τῆς ἀληθείας, καὶ ἀναμιγνύναι τὸν οἶνον ὕδατι, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου λόγον τῷ πολλῷ καὶ εὐώνῳ καὶ χαμαὶ συρομένῳ καὶ ἐξιτήλῳ καὶ εἰκῇ ῥέοντι (ὥστε αὐτοί τι παρακερδαίνειν ἐκ τῆς καπηλείας) ἄλλοτε ἄλλως ὁμιλοῦντες τοῖς πλησιάζουσι, καὶ πᾶσι πρὸς χάριν, ἐγγαστρίμυθοί τινες ὄντες καὶ κενολόγοι· τὰς ἑαυτῶν ἡδονὰς θεραπεύοντες λόγοις ἐκ γῆς φωνουμένοις καὶ δυομένοις εἰς γῆν, ὡς ἂν μάλιστα εὐδοκιμοῖεν παρὰ τοῖς πολλοῖς, ὅτι μάλιστα ζημιοῦντες ἑαυτοὺς ἢ ἀπολλύντες, καὶ αἷμα ἀθῷον ἁπλουστέρων ψυχῶν ἐκχέοντες, ἐκ τῶν χειρῶν ἡμῶν ἐκζητηθήσομεν. Vid. *Heydenreich.* l. l. pag. 403. *L.*]

8) ὠφέλειαν. Scil. τῶν ἀκουόντων.

9) μελετῶντι. Hoc cohaeret cum αὐτῷ per hyperbaton. Ed. prima, μελετῶντος.

ἐπιθυμίαν. Καὶ καθάπερ ὁ μήτε πάσχων τι πρὸς τὰς εὐφη- 456
μίας, μήτε λέγειν εἰδὼς, οὔτε εἴκει [10]) ταῖς τοῦ πλήθους ἡδο-
ναῖς, οὔτε ὠφελεῖν ἀξιόλογόν τινα ὠφέλειαν δύναται, τῷ μη-
δὲν ἔχειν [11]) εἰπεῖν· οὕτω καὶ ὁ τῷ πόθῳ τῶν ἐγκωμίων ἑλ-
κόμενος, ἔχων ἀμείνους ἐργάσασθαι [12]) τοὺς πολλοὺς, ἀντὶ
τούτων παρέχει τὰ τέρψαι δυνάμενα μᾶλλον, τούτων [13]) τοὺς
ἐν τοῖς κρότοις θορύβους ὠνούμενος.

III. Ἀμφοτέρωθεν οὖν ἰσχυρὸν εἶναι τὸν ἄριστον ἄρχοντα 457
δεῖ, ἵνα μὴ θατέρῳ θάτερον ἀνατρέπηται. Ὅταν γὰρ ἀνα-
στὰς ἐν τῷ μέσῳ, λέγῃ τὰ τοὺς ῥαθύμως ζῶντας ἐπιστῦψαι [1])
δυνάμενα, εἶτα προσπταίῃ καὶ διακόπτηται, [2]) καὶ ὑπὸ τῆς
ἐνδείας ἐρυθριᾶν ἀναγκάζηται, διεῤῥύη τὸ κέρδος τῶν λεχθέν-
των εὐθέως. οἱ γὰρ ἐπιτιμηθέντες, ἀλγοῦντες τοῖς εἰρημένοις
καὶ οὐκ ἔχοντες ἑτέρως αὐτὸν ἀμύνασθαι, τοῖς τῆς ἀμαθίας
αὐτὸν βάλλουσι σκώμμασι, τούτοις οἰόμενοι τὰ ἑαυτῶν συ-
σκιάζειν ὀνείδη. Διὸ χρὴ, καθάπερ τινὰ ἡνίοχον ἄριστον, εἰς 458
ἀκρίβειαν τούτων ἀμφοτέρων ἥκειν [3]) τῶν καλῶν, ἵνα ἀμφό-
τερα πρὸς τὸ δέον αὐτῷ μεταχειρίζειν ἐξῇ. καὶ γὰρ ὅτ' ἂν

---

10) *εἴκει.* Al. *εἴκειν.*

11) *τῷ μηδὲν ἔχειν.* Infinitivus cum articulo varios subit casus. *τὸ μὴ μειῶσαι.* §. 572. *ὑπὲρ τοῦ πληρῶσαι.* §. 252. *τῷ σκανδαλίσαι.* §. 573. *περὶ τοῦ πονεῖν.* §. 487.

12) *ἔχων ἀμείνους ἐργάσασθαι.* Sic ed. prima. Posteriores: *ἔχων ἀφ' ὧν ἀμείνους ἐργάσασθαι δυνήσεται.* Sed *δυνήσεται* continetur in *ἔχων*, et in *ἀντὶ τούτων* Syllepsis est.

13) *τούτων τούς.* Pro *τούτων* al. *διὰ τούτων.* [Explicuerunt hunc genitivi cum verbis vendendi sive emendi significatum habentibus conjuncti usum *Matthiae.* Gr. Gr. II, 678. *Hermann.* ad *Viger.* p. 878 et imprimis *Winer.* Gr. N. T. pag. 169. ed. 3tiae. Hic nimirum Vir Doctus non sine acumine de hoc genitivo pretii, quem dicunt, haec monuit; „*Man könnte, nach Massgabe der Construction mit ἐκ, diesen Genitiv auf den Begriff des Hervorgehens zurückführen, da das, was für einen Preis gekauft u. s. w. wird, aus dem dafür hingegebenen Preise (Tauschmittel) für uns gleichsam hervorgeht.*“ Cf. *Buttmann.* §. 132, 5, 2. *Thiersch.* §. 255, 10. et *Poppo* ad Xenoph. Anabas. III, 3, 18. *L.*]

1) *ἐπιστῦψαι.* Rara metaphora. Sic *Alciphron* Epist. 3. lib. 1. *τὴν ἀπόνοιαν τῶν πλεόντων ἐπιστύφοντος, increpantis amentiam eorum, qui vitam undis committunt.* Adde notas *Bergleri.* [Vid. *Passow.* in Lex. s. h. v. *L.*]

2) *διακόπτηται.* *Si deinde labatur et decidat.* De verbo *προσπταίειν* vid. Herodot. IX, 107. et 101. I, 65. VI, 54. Hesych. *προσπταίοντες· προσκρούοντες, προσκόπτοντες.* Cf. Pollux. II, 199. *L.*

3) *εἰς ἀκρίβειαν ἥκειν.* Sic, *διὰ πάσης ἥκοντα τῆς ἐπιστήμης.* §. 401. Palatinus, *ἐληλακέναι.* utrumque Graecanice. [Hoc posterius verbum probavit *Hasselbach.* *L.*]

αὐτὸς ἀνεπίληπτος[4]) ἅπασι γένηται, τότε δυνήσεται μεθ'
ὅσης βούλεται ἐξουσίας καὶ κολάζειν καὶ ἀνιέναι τοὺς ὑπ' αὐτῷ
ταττομένους ἅπαντας· πρὸ δὲ τούτου οὐκ εὐμαρὲς ταῦτα
459 ποιεῖν. τὴν δὲ μεγαλοψυχίαν οὐ μέχρι τῆς τῶν ἐπαίνων ὑπερ-
οψίας δείκνυσθαι μόνον, [5]) ἀλλὰ καὶ περαιτέρω προάγειν, ἵνα
μὴ πάλιν ἀτελὲς ᾖ τὸ κέρδος.

IV. Τίνος οὖν δεῖ καὶ ἑτέρου καταφρονεῖν; βασκανίας [1])
460 καὶ φθόνου. Τὰς δὲ ἀκαίρους κακηγορίας [2]) (καὶ γὰρ ἀνάγκη
τὸν προεστῶτα μέμψεις ὑπομένειν ἀλόγους) οὔτε ἀμέτρως δε-
δοικέναι καὶ τρέμειν, οὔτε ἁπλῶς παρορᾶν καλόν· ἀλλὰ χρὴ
κἂν ψευδεῖς τυγχάνωσιν οὖσαι, κἂν παρὰ τῶν τυχόντων ἡμῖν
461 ἐπάγωνται, πειρᾶσθαι σβεννύναι ταχέως αὐτάς. οὐδὲν γὰρ οὕ-
τως αὔξει φήμην πονηράν τε καὶ ἀγαθὴν, ὡς τὸ πλῆθος τὸ
ἄτακτον· ἀβασανίστως γὰρ καὶ ἀκούειν καὶ ἐκλαλεῖν [3]) εἰω-
θὸς, ἁπλῶς τὸ ἐπελθὸν [4]) ἅπαν φθέγγεται, τῆς ἀληθείας
462 οὐδένα ποιούμενον λόγον. Διὰ ταῦτα οὐ δεῖ τῶν πολλῶν κα-
ταφρονεῖν, ἀλλὰ ἀρχομένας εὐθέως ἐκκόπτειν τὰς ὑποψίας τὰς
πονηρὰς, πείθοντα τοὺς ἐγκαλοῦντας, κἂν ἀλογώτατοι πάν-
των εἶεν, καὶ μηδὲν ὅλως ἐλλείπειν τῶν δυναμένων ἀφανίσαι
δόξαν οὐκ ἀγαθήν. εἰ δὲ, πάντα ποιούντων [5]) ἡμῶν, μὴ θέ-
λωσιν οἱ μεμφόμενοι πείθεσθαι, τὸ τηνικαῦτα καταφρονεῖν· ὡς
ἐὰν φθάσῃ τὶς ταπεινοῦσθαι τοῖς συμπτώμασι τούτοις, οὐ δυ-
νήσεταί ποτε γενναῖόν τι καὶ θαυμαστὸν ἀποτεκεῖν. ἡ γὰρ
ἀθυμία καὶ αἱ συνεχεῖς φροντίδες, δειναὶ καταβαλεῖν ψυχῆς δύ-

---

4) *ἀνεπίληπτος*. Vid. beatus *Tittmann*. De Synonym. N. T. Lib. I, p. 31. *L.*

5) *δείκνυσθαι*. Sic ed. prima. alii adjecere *χρὴ*, quod e proximo subaudiendum, uti §. 463. [*Hughes* et *Montefalconius* *χρὴ* addiderunt, quod praeplacet. Durius certe videtur e proximis hoc verbum subaudire. Pro *δείκνυσθαι* alii habent *ἐπιδείκνυσθαι*. *L.*]

1) *βασκανίας*. Huc redit tmemate 475.

2) *κακηγορίας*. Al. *κατηγορίας* [quod expressit *Hässelbach*. in versione vernacula. *L*]

3) *ἐκλαλεῖν*. Alii *ἐγκαλεῖν*. Male. Caeterum conferri meretur cum nostro loco Clemens Alexandr. pag. 523. l. 2. ubi aliquod Nicolai effatum vocat *τὸ εἰρημένον ἁπλῶς καὶ ἀβασανίστως*. *L.*

4) *τὸ ἐπελθόν*. Idem verbum, §. 25. Germ. *was sie ankommt*. [Sive: *das Erste das Beste*. Vid. *Passow*. in Lex. s. h. v. *L.*]

5) *πάντα ποιούντων*. Eadem phrasis, cum *ὥστε*, §. 563. cum *ὑπὲρ*, §. 412. *πάντα πράττειν*, cum *ὅπως*, §. 43. cum *ἕνεκα*, §. 282.

ναμιν· καὶ εἰς ἀσθένειαν καταγαγεῖν τὴν ἐσχάτην. Οὕτως οὖν 463
χρὴ τὸν ἱερέα διακεῖσθαι πρὸς τοὺς ἀρχομένους, ὥσπερ ἂν εἰ
πατὴρ [6]) πρὸς παῖδας ἄγαν νηπίους διακέοιτο· καὶ καθάπερ
ἐκείνων οὔτε ὑβριζόντων, οὔτε πληττόντων, οὔτε ὀδυρομένων
ἐπιστρεφόμεθα, ἀλλ᾽ οὐδὲ, ἡνίκα ἂν γελῶσι καὶ προσχαίρω-
σιν ἡμῖν, μέγα ἐπὶ τούτῳ φρονοῦμέν ποτε, οὕτω καὶ τούτων
μήτε τοῖς ἐπαίνοις ἐξογκοῦσθαι, μήτε καταπίπτειν τοῖς ψό-
γοις, ὅτ᾽ ἂν ἀκαίρως γίνωνται παρ᾽ αὐτῶν. Χαλεπὸν δὲ 464
τοῦτο, [7]) ὦ μακάριε, τάχα δὲ, οἶμαι, [8]) καὶ ἀδύνατον. Τὸ 465
γὰρ μὴ χαίρειν ἐπαινούμενον, οὐκ οἶδα εἴ τινι ἀνθρώπων ποτὲ
κατώρθωται· τὸν δὲ χαίροντα, εἰκὸς καὶ ἐπιθυμεῖν ἀπολαύειν
αὐτῶν· [9]) τὸν δὲ ἀπολαύειν ἐπιθυμοῦντα, πάντως καὶ ἐν ταῖς
τούτων ἀποτυχίαις ἀνιᾶσθαι καὶ ἀλύειν [10]) ἀνάγκη. Ὥσπερ 466

---

6) ὥσπερ — πατήρ. Talis affectus per Homilias ipsius Chrysostomi diffusus est. [De verbo διακεῖσθαι vid. Matthaei l. l. Huntl. I, 180. L.]

7) χαλεπὸν — τοῦτο. Consequetur tamen hoc, qui obtemperarit saluberrimo *B. Koepkii*, Theologi practici consilio. *Si propter sedulitatem*, inquit, *in officio et dona administrantia oriantur inter nos aemulationes et contentiones; proderit eas fugere et declinare* susceptione s. informatione puerorum, *s. dum ex charitate erga Christum studemus pascere agnos ejus. Si eaedem suboriantur in exercitio pietatis et conversatione fraterna; non melius eas evitabimus, quam hujusmodi* lotione pedum *in vera humilitate et caritate instituta: nempe ut qui sunt inter nos firmiores, aliorum infirmitates amice corrigere studeant; et qui sunt infirmiores, humiliter se corrigi patiantur, et pedes exhibeant lavandos, si participes Christi esse et manere voluerint.* Colloq. II. de ἀταξίᾳ vitae paroch. p. 170 s.

8) τάχα δὲ, οἶμαι. Ἀσφαλείας χάριν *adhibentur hujusmodi particulae interdum*, σχεδὸν, ἴσως, τάχα, *vitandae arrogantiae causa, ne videamur asseverare, quae explorate ac certo nescimus.* Portus ad Xenoph. p. 298.

9) αὐτῶν. Refertur ad ἐπαίνων, quod latet in ἐπαινούμενον.

10) ἀνιᾶσθαι καὶ ἀλύειν. Sic Augustanus. ἀνιᾶσθαι καὶ ἀλγεῖν, edd. vetustae. ἀλύειν, melius. recentiores cum Palatino, λυπεῖσθαι καὶ ἐκκλίνειν, καὶ ἀνιᾶσθαι καὶ ἀλύειν, (iterum quaedam, ἀλγεῖν:) insolenti verborum quaternario. Scilicet primum verbum est glossa tertii; secundum quarti. Item, *Hesychius*: ἀνιᾶται, λυπεῖται: et, ἀλύξαι, ἐγκλῖναι (leg. ἐκκλῖναι) ἐκφυγεῖν. ἀλύσσω autem, ex quo ἀλύξαι, idem est quod ἀλύω. Plane igitur haec ex Hesychio videntur assuta. nam etiam §. 307. ad γάνυται Erasmi margo habet λαμπρύνεται, perinde ut Hesychius. Conf. not. ad §. 401. 423. Frequentissimos olim hic dialogus lectores habuit, ex quo multas contraxit glossas, quarum nonnullae in margine ed. Froben. comparent, plures in ipsum librorum contextum inductae sunt, νοθείας ne suspicionem quidem incursurae, nisi eas alii codices redarguerent. [De verbo ἀλύειν docte, ut solebat, disputavit *Krebsius* ad Plutarch. de audiend. poet. c. V. p. 130 sq. L.]

γὰρ οἱ γανύμενοι τῷ πλουτεῖν, ἡνίκα ἂν καταπέσωσιν εἰς πε-
νίαν, ἄχθονται, καὶ οἱ τρυφᾷν εἰωθότες, οὐκ ἂν ἀνάσχοιντο
ζῆν εὐτελῶς· οὕτω καὶ οἱ τῶν ἐγκωμίων ἐρῶντες, οὐχ ὅτ'
ἂν ψέγωνται μόνον εἰκῇ, ἀλλὰ καὶ ὅτ' ἂν μὴ ἐπαινῶνται συν-
εχῶς, καθάπερ λιμῷ τινι διαφθείρονται τὴν ψυχὴν, καὶ μά-
λιστα ὅτ' ἂν αὐτοῖς ἐντραφέντες τύχωσιν, ἢ καὶ ἑτέρους ἐπαι-
467 νουμένους ἀκούωσι. Τὸν δὴ μετὰ ταύτης τῆς ἐπιθυμίας εἰς
τὸν τῆς διδασκαλίας ἀγῶνα παρελθόντα, πόσα πράγματα καὶ
πόσας ἔχειν οἴει τὰς ἀλγηδόνας; οὔτε τὴν θάλατταν ἔστι κυ-
μάτων ἐκτὸς εἶναί ποτε, οὔτε τὴν ἐκείνου ψυχὴν φροντίδων
καὶ λύπης.
468 V. Καὶ γὰρ ὅτ' ἂν πολλὴν ἐν τῷ λέγειν δύναμιν ἔχῃ
(τοῦτο δε [1] ἐν ὀλίγοις εὕροι τις ἄν)· οὐδὲ οὕτω τοῦ πονεῖ-
σθαι διηνεκῶς ἀπήλλακται. [2] ἐπειδὴ γὰρ οὐ φύσεως ἀλλὰ μα-
θήσεως τὸ λέγειν, κἂν εἰς ἄκρον αὐτοῦ τις ἀφίκηται, τότε
αὐτὸν ἀφίησιν ἔρημον, ἂν μὴ συνεχεῖ σπουδῇ καὶ γυμνασίᾳ
469 ταύτην θεραπεύῃ τὴν δύναμιν. Ὥστε τοῖς σοφωτέροις μᾶλ-
λον, ἢ τοῖς ἀμαθεστέροις, μείζων ὁ πόνος. [3] οὐδὲ γὰρ ὑπὲρ
τῶν αὐτῶν ἡ ζημία ἀμελοῦσι τούτοις κἀκείνοις, ἀλλὰ τοσοῦ-
τον αὕτη πλείων, ὅσον καὶ τῆς κτήσεως ἑκατέρας [4] τὸ μέ-
470 σον. [5] Κἀκείνοις μὲν οὐδ' ἂν ἐγκαλέσειέ τις, μηδὲν ἄξιον

---

1) *δέ.* Fort. *δὴ*, coll. §. 546.

2) *πονεῖσθαι — ἀπήλλακται.* Fere eadem suadet nostri aevi concionatoribus *Joh. Aug. Nebe* in libro: *Ueber die Gefahr, sich auszupredigen.* p. 189. „*Wenn das Studium der Wissenschaften, insbesondere derer, die unmittelbar oder mittelbar auf die praktische Religionslehre Beziehung haben, nicht vernachlässigt wird: — — dann sei ohne Sorgen, und verwalte heiter dein Amtsgeschäft mit Vertrauen auf den, bei dem ein guter Wille den ersten Werth hat, und der diesen Willen gewiss segnet. Wenn dir auch die Gedanken nicht in immer wiederkehrender Neuheit und Fülle zuströmen; so wirst du doch nicht Mangel leiden, nicht unfruchtbar sein. — — Indem du dich als denkenden und gewissenhaften Prediger rege fortschreitend und fortarbeitend erkennst, — — bist du auf dem rechten Wege, ein fruchtbarer und nützlicher Prediger zu werden.*“ *L.*

3) *μείζων ὁ πόνος.* Ipse tamen postea *Chrysostomus* non semper longa commentandi tempora aut sumsit aut habuit. Nam multae ejus Homiliae, dum haberentur, exceptae sunt, ac deinde *ἐκτεθεῖσαι ἀπὸ σημείων*, ex *Notis* descriptae: atque illa in Ps. *Cantate Domino*, memoriae et linguae, si evolveris, lapsum habet, dum ea haberetur, commissum, et cum aliqua cunctatione correctum, totidemque verbis exceptum.

4) *ἑκατέρας.* Singularis numerus.

5) *μέσον.* Laudat hanc ob causam b. *Reinhardum*, qui sermonis sublimitate et orationis novitate, quoad viveret, tenere pot-

λόγου παρέχουσιν· οὗτοι δὲ εἰ μὴ μείζονα τῆς δόξης, ἣς
ἅπαντες ἔχουσι περὶ αὐτῶν, ἀεὶ προφέροιεν, πολλὰ παρὰ
πάντων ἕπεται τὰ ἐγκλήματα. Πρὸς δὲ τούτοις ἐκεῖνοι μὲν
καὶ ἐπὶ μικροῖς μεγάλων ἂν τύχοιεν ἐπαίνων· τὰ δὲ τούτων,
ἂν μὴ λίαν ᾖ θαυμαστὰ καὶ ἔκπληκτα, [6]) οὐ μόνον ἐγκωμίων
ἐστέρηται, ἀλλὰ καὶ τοὺς μεμφομένους ἔχει πολλούς. Οὐ γὰρ 471
τοῖς λεγομένοις, ὡς ταῖς τῶν λεγόντων δόξαις, κάθηνται δι-
κάζοντες οἱ ἀκροαταί. ὥστε ὅταν κρατῇ τις ἁπάντων ἐν τῷ
λέγειν, τότε μάλιστα πάντων αὐτῷ δεῖ πεπονημένης σπου-
δῆς. οὐδὲ γὰρ τοῦτο, ὃ κοινὸν τῆς ἀνθρωπείας φύσεώς ἐστι,
τὸ μὴ πάντα ἐπιτυγχάνειν, [7]) ἔξεστιν ἐκείνῳ παθεῖν· ἀλλ᾽ ἂν
μὴ δι᾽ ὅλου συμφωνῇ τῷ μεγέθει τῆς ὑπολήψεως αὐτοῦ τὰ
λεγόμενα, σκώμματα μυρία καὶ μέμψεις λαβὼν παρὰ τῶν πολ-
λῶν ἄπεισι. [8]) Καὶ οὐδεὶς ἐκεῖνο λογίζεται πρὸς αὐτὸν, [9]) 472
ὅτι καὶ ἀθυμία προσπεσοῦσα, καὶ ἀγωνία, καὶ φροντὶς, πολ-
λάκις δὲ καὶ θυμὸς ἐπεσκότησε [10]) τῷ τῆς διανοίας καθαρῷ,

---

uerit auditores suos, *Tzschirnerus*, ὁ νῦν ἐν ἁγίοις, in libro: *Briefe, veranlasst durch Reinhards Geständnisse;* Lips. 1811. pag. 88 sq. „*Jedes Jahr aber neu zu erscheinen, ohne jemals eine frühere Arbeit, nicht einmal die Hauptgedanken einer früheren Predigt wieder benutzen zu können, — — das setzt eine seltene Fruchtbarkeit des Geistes, eine unerschöpfliche Erfindungskraft voraus. Dabei immer sich gleich zu bleiben, nichts seiner Unwürdiges sich entfallen zu lassen, ein an das Vortreffliche gewöhntes Publicum fortwährend zu befriedigen (denn, wie Chrysostomus, welcher damit seine eigene Empfindung ausgesprochen zu haben scheint, richtig bemerkt* [respicit vir egregius ad nostrum locum], *dem vortrefflichen Kanzelredner ist es wegen der Vortrefflichkeit, die man an ihm gewohnt ist, schwerer, als dem mittelmässigen, seinem Auditorium stets zu genügen), dazu bedarf es auch bei dem fruchtbarsten und glücklichsten Genie einer steten Sorgfalt, eines unermüdeten Fleisses, einer ununterbrochenen Anstrengung. L.*

6) *ἔκπληκτα.* Ἔκπληκτος active et passive dicitur, ut multa ejus formae alia.

7) *τὸ μὴ πάντα ἐπιτυγχάνειν.* Vet. int. *id est, ut ex interjecto placeat.* Videtur adagium fuisse.

8) *λαβὼν ἄπεισι.* Hypallage. conf. p. 427. [Vid. de usu participii λαβὼν cum aliis verbis conjuncti *Sturz.* in Lex. Xenophont. III, 13. *Valckenar.* ad Eurip. Phoeniss. 481. et *Passow.* in Lex. s. h. v. *L.*]

9) *πρὸς αὐτόν.* Sic πρὸς, *quod attinet*, §. 152. Sed Savil. πρὸς ἑαυτόν. [*Montefalconius* habet etiam πρὸς αὐτόν. *Ducaeus* et *Hughes* defendunt lectionem πρὸς ἑαυτὸν, quae sola vera lectio esse videtur. *L.*]

10) *ἐπεσκότησε.* Placet hoc, quia Dativus adest. al. ἐπεσκότισε. Sed quanquam σκοτίζω dicitur, non σκοτέω, tamen ἐπισκοτέω frequentius est. ἐπισκοτίζω exstat apud Polybium, Macarium

καὶ τὰ τικτόμενα οὐκ ἀφῆκε προελθεῖν εἰλικρινῆ· καὶ ὅτι ὅλως, ἄνθρωπον ὄντα, οὐκ ἔστι διὰ παντὸς εἶναι τὸν αὐτὸν, οὐδὲ ἐν ἅπασιν εὐημερεῖν·[11]) ἀλλ' εἰκός ποτε καὶ διαμαρτεῖν, καὶ ἐλάττονα τῆς οἰκείας δειχθῆναι δυνάμεως. τούτων οὐδὲν, ὅπερ ἔφην, ἐννοῆσαι βούλονται· ἀλλ' ὥσπερ ἀγγέλῳ δικάζοντες,
473 ἐπάγουσι τὰς αἰτίας. Καὶ ἄλλως δὲ πέφυκεν ἄνθρωπος τὰ μὲν κατορθώματα τοῦ πλησίον, καὶ πολλὰ ὄντα καὶ μεγάλα, παρορᾷν· ἣν δὲ ἐλάττωμά που φανῇ, κἂν τὸ τυχὸν ᾖ, κἂν διὰ πολλοῦ συμβεβηκὸς,[12]) καὶ ἐπαισθάνεται ταχέως, καὶ ἐπιλαμβάνεται προχείρως, καὶ μέμνηται διαπαντός. καὶ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς, τὴν τῶν πολλῶν καὶ μεγάλων ἠλάττωσε δόξαν πολλάκις.

474 VI. Ὁρᾷς, ὦ γενναῖε, ὅτι μάλιστα τῷ λέγειν δυναμένῳ πλείονος δεῖ τῆς σπουδῆς· ἐπὶ δὲ τῇ σπουδῇ καὶ ἀνεξικακίας τοσαύτης, ὅσης οὐδὲ ἅπαντες, ὅσους πρότερόν σοι διῆλθον,
475 ἐδέοντο. Πολλοὶ γὰρ αὐτῷ συνεχῶς ἐπιφύονται[1]) μάτην καὶ εἰκῆ, καὶ οὐδὲν ἔχοντες ἐγκαλεῖν, πλὴν ὅτι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν[2]) ἀπεχθάνονται· καὶ δεῖ γενναίως φέρειν τὴν πικρὰν

---

et Ephraimi Syri metaphrasten. [Parum interest, utrum ἐπεσκότησε, an ἐπεσκότισε legamus. Utrumque enim verbum cum tertio casu construitur. Est vero ἐπισκοτίζειν, s. ἐπισκοτεῖν cum Dativo, quod nos dicimus: *Schatten machen*, quae verbi notio apprime quadrat in nostrum locum. Cf. *Schäfer.* ad Dion. de composit. verbor. p. 148. *L.*]

11) *εὐημερεῖν*, quod proprie notat *bonos dies habere*, est deinde, *prospere agere*, bene rem gerere. Dicitur εὐημερία imprimis de ducibus victoriam reportantibus. Cf. *Perizon.* ad Aelian. V. H. XIII, 38. *Schleusner.* Lex. in LXX. Interpret. s. h. v. et quae Suidas ex Hyperide affert in v. εὐημερήσαντες. *L.*

12) *κἂν διὰ πολλοῦ συμβεβηκός.* „Interpres vetus melius expressit, *longo intervallo accidens*, non enim vult auctor, errorem illum jamdiu accidisse: verum eum raro solere labi errore, qui id admiserit. Hic ergo scribendum: *Isque vel ex longo intervallo aberraverit.*" *Fronto Ducaeus.* — Addit ad haec *Ducaei* verba *Montefalconius* haecce: „Non liquet, utro Chrysostomus sensu loquatur. Certe haec interpretatio, *quamvis jamdiu acciderit*, quadrare videtur ad sensum, sin mavis Frontonis sententiam amplecti, commodius scribas; *quamvis admodum infrequenter acciderit*, vel, *post longum intervallum acciderit.* Nam ea, quam Fronto proponit interpretatio, non omnino perspicua est." *L.*

1) *ἐπιφύονται*, *adoriuntur.* Cf. 2. Maccab. XV, 17. ad quem locum haecce annotavit *Baduellus*: „Verbum est desumtum a plantis et stirpibus, quae ἐπιφύονται, adnascentes insurgunt. H. l. eos significat, qui aliis vim inferunt." *L.*

2) *πλὴν ὅτι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν ἀπεχθάνονται.* Sic, πλὴν ὅτι τὸ, Augustanus: vet. int. *propter hoc solum, quod eum placere non sustinent.* πλὴν, ed. novissima. πλὴν

τούτων βασκανίαν. Τὸ γὰρ ἐπάρατον τοῦτο μῖσος, ὅπερ εἰκῆ 476
συλλέγουσιν, οὐ στέγοντες κρύπτειν, καὶ λοιδοροῦνται, καὶ καταμέμφονται, καὶ διαβάλλουσι λάθρα, καὶ πονηρεύονται φανερῶς. Ψυχὴ δὲ ἀρξαμένη καθ᾽ ἕκαστον τούτων ἀλγεῖν καὶ παροξύνεσθαι, οὐκ ἂν φθάσειε διαφθαρεῖσα 3) τῇ λύπῃ. Καὶ 477
γὰρ οὐ δι᾽ ἑαυτῶν αὐτὸν ἀμύνονται μόνον, ἀλλὰ καὶ δι᾽ ἑτέρων τοῦτο ποιεῖν ἐπιχειροῦσι· καὶ πολλάκις τινὰ τῶν οὐδὲν δυναμένων εἰπεῖν ἐκλεξάμενοι, τοῖς ἐπαίνοις ἐπαίρουσι, καὶ θαυμάζουσιν ὑπὲρ τὴν ἀξίαν· οἱ μὲν ἀμαθίᾳ, 4) οἱ δὲ καὶ ἀμαθίᾳ καὶ φθόνῳ τοῦτο ποιοῦντες, ἵνα τὴν δόξαν τούτου

τοῦ, prima, hoc sensu, si στιγμὴν injicias: *tamen applausus omnium causa, ei sunt infensi.* nam πλὴν pro *tamen* Herodianus l. 2. c. 2. sed frequentius πλὴν *nisi*, et commodior ὅτι τὸ lectio.

3) οὐκ ἂν φθάσειε διαφθαρεῖσα. Sav. et quidam Mss. κἂν φθάσειε διαφθαρῆναι. *Montef.* Sic, φθάσῃ ἁλῶναι. §. 484. sed praestat participium [quod et defendit *Hughes* p. 302. *L.*] κἂν est a sedulo librario. φθάνω, *antevenio*. §. 6. 66. 147. παρέλκει, §. 462. οὐκ ἂν φθάνοιμι ποιῶν, insignis idiotismus, qui semper affirmat, etiam in ep. Solonis σόλων περιάνδρῳ. ἀπαγγέλλεις μοι, πολλούς τοι ἐπιβουλεύειν. σὺ δὲ εἰ μὲν μέλλεις ἐκποδὼν ἅπαντας ποιήσεσθαι, οὐκ ἂν φθάνοις. vid. *Diog. Laert.* p. 23. ed. H. Steph. Interpres, *ne sic quidem proficies.* immo sic, οὐκ ἂν φθάνοις, scil. ἐπιβουλευόμενος, *insidiae tibi cum maxime fient.* Eadem ratio exemplorum est, quae Budaeus et lexicographi notarunt. Itaque τὸ οὐκ debet de *alio* accipi, per ellipsin, sic: *non potius aut prius fecerim quicquam aliud atque hoc.* taliaque sunt illa: προὔργου τι ποιεῖ, quasi πρὸ ἔργου, παντὸς ἄλλου δηλονότι. item, οὐ γὰρ ἀλλά, οὐ μὴ ἀλλά, οὐκοῦν, οὐδὲν οἷον, omnia affirmante sensu: et illa: *quid faciam? quid facerem? facere nil potui*, scil. *aliud*. Ellipsin ἄλλως adverbii Budaeus exemplis comprobavit. Itaque haec verba, οὐκ ἂν φθάσειε διαφθαρεῖσα, hoc innuunt, *nulla alia re citius aut vehementius conficietur.* [Vid. de hoc usu verbi φθάνειν in optativo cum praecedente οὐκ et sequente participio **Fischer.** ad Platon. Phaedon. **Zeune** ad Viger. p. 320. et **Passow** in Lex. s. v. φθάνειν. Aliter tamen censet de h. v. **Hermann.** ad Viger. p. 764. qui contendit, φθάνειν proprie esse *cessare, desinere*, ita ut sit v. c. φθάνει ποιῶν desinit facere. Hinc οὐ φθάνει foret, non cessat, i. e. perpetuo fit, ut in Eurip. Oreste v. 933., quem locum attulit Hermannus: εἰ γὰρ ἀρσένων φόνος ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ᾽ ἔτ᾽ ἂν θνήσκοντες: i. e. *Si licebit mulieribus impune occidere maritos, non cessabunt caedes.* Quam rationem secuti nostrum quoque locum ita explicamus: *Animus, qui singulis his malis dolere atque exacerbari coeperit, non cessabit tristitia confici*, i. e. *perpetua tristitia conficietur. L.*]

4) οἱ μὲν ἀμαθίᾳ. Sic Morel. et vet. int. conf. §. 479. Al. οἱ μὲν μανίᾳ, vel, οἱ μὲν μανίᾳ μόνον. [Hanc postremam lectionem receperunt **Hughes** et **Montefalconius.** Vetus tamen Interpres habet *Imperitia.* Et pugnant etiam pro lectione ἀμαθίᾳ verba, quae paulo post leguntur: καὶ τοῖς μὲν δι᾽ ἀμαθίαν ταῦτα πάσχουσι συγγινώσκειν. *L.*]

καθέλωσιν, οὐχ ἵνα δείξωσι θαυμαστὸν τὸν οὐκ ὄντα τοιοῦ-
478τον. Οὐ πρὸς τούτους δὲ μόνον ἐκείνῳ τῷ γενναίῳ ὁ ἀγὼν,
ἀλλὰ καὶ πρὸς ἀπειρίαν ὅλου δήμου πολλάκις. ἐπειδὴ γὰρ οὐκ
ἔστιν ἐξ ἐλλογίμων [5]) ἀνδρῶν συλλέγεσθαι τοὺς συνερχομένους
ἅπαντας, ἀλλὰ τὸ πλέον τῆς ἐκκλησίας μέρος ἐξ ἰδιωτῶν συν-
ῆχθαι συμβαίνει, τοὺς δὲ λοιποὺς καὶ αὐτοὺς ἐκείνων μὲν [6])
εἶναι συνετωτέρους, τῶν δὲ λόγους κρῖναι δυναμένων λείπεσθαι
πολλῷ πλέον, ἢ ὅσον ἐκείνων [7]) οἱ λοιποὶ πάντες, ἕνα δὲ
μόνον [8]) ἢ δεύτερον καθῆσθαι τὸν ταύτην κεκτημένον τὴν ἀρε-
τήν· ἀνάγκη, τὸν ἄμεινον εἰπόντα ἐλάττονας ἀπενέγκασθαι
479κρότους, ἔστι δὲ ὅτε μηδὲ ἐπαινεθέντα ἀπελθεῖν. Καὶ δεῖ
πρὸς ταύτας γενναίως παρεσκευάσθαι τὰς ἀνωμαλίας· [9]) καὶ
τοῖς μὲν δι' ἀμαθίαν ταῦτα πάσχουσι συγγινώσκειν· τοὺς δὲ
διὰ φθόνον τοῦτο ὑπομένοντας [10]) δακρύειν, ὡς ἀθλίους ὄντας
καὶ ἐλεεινούς· μηδ' ἑτέρῳ δὲ τούτων ἐλάττω τὴν αὐτοῦ νο-
480μίζειν γεγενῆσθαι δύναμιν. Οὐδὲ γὰρ, εἰ ζωγράφος ὢν ἄρι-
στος, καὶ πάντων κατὰ τὴν τέχνην κρατῶν, τὴν μετὰ πολλῆς

---

5) *ἐξ ἐλλογίμων.* *Ἐλλόγιμος* dicitur, qui amplitudine aut claritate excellit, ut apud *Xiphil.* οἱ ἱππεῖς οἱ ἐλλόγιμοι. inde, qui in *literis* excellit. *Hesychius*, ἐλλόγιμος, γεγραμματισμένος. Itaque ἐλλόγιμοι h. l. statim dicuntur οἱ λόγους κρῖναι δυνάμενοι. Atque his opponuntur ἰδιῶται, de quibus §. 413 not. Inter ἐλλογίμους autem et ἰδιώτας medii sunt, qui et hos vincunt ut συνετοὶ, et ab illis vincuntur ut ἀγράμματοι. infimumque hic locum ἰδιῶται tenent, ut apud *Macarium*: εἰς χωρίον ἐάν τις ἀπέλθῃ, ὀλίγα γράμματα εἰδὼς, ὅπου εἰσὶν ἰδιῶται, δοξάζεται ὑπ' αὐτῶν ὡς σχολαστικός. Hom. 26. [Totum hunc locum *Cramerus* vernaculo sermone ita expressit: „*Der grösste Theil der Kirche* (*der Versammlung*) *besteht gemeiniglich aus Unverständigen. Die übrigen sind zwar verständiger als diese; allein sie sind der Menge nach von denen, welche über die Beredtsamkeit urtheilen können, so weit verschieden, als diese sich von den andern unterscheiden* (ergo: perpauci tantum adsunt, qui justum de oratione sacra judicium ferre possint), *indem nur einer oder der andere zugegen ist, der diese Vollkommenheit besitzt. L.*]

6) *ἐκείνων μέν.* *Τῶν ἰδιωτῶν.*

7) *ὅσον ἐκείνων.* *Τῶν συνετωτέρων.*

8) *μόνον.* Vet. int. *vix.* Savil. *μόλις.*

9) *ἀνωμαλία.* Cf. Euseb. H. E. II, 6. init. τοιαύτη μὲν οὖν τις ἡ Γαΐου περὶ τὸ ἦθος ἦν ἀνωμαλία, ubi crudelitatem immoderatam Caji innuit voc. ἀνωμαλία. Vid. *Matthaei* l. l. Homil. I, not. 156. H. l. optime exprimitur germanice: *Unordnungen. Gegen diese Unordnungen muss er sich nun muthig rüsten. L.*

10) *πάσχουσι — ὑπομένοντας.* *Atque debet iis quidem, quibus haec per inscitiam accidunt, ignoscere:* eos autem, qui per *invidentiam hoc admittunt,* deplorare. Pertinet hoc ad veniam impetrandam. In querela gravius dixerat, *faciunt.* §. 477.

τῆς ἀκριβείας ἀναγεγραμμένην εἰκόνα ὑπὸ τῶν τῆς τέχνης ἀπείρων σκωπτομένην ἑώρα, ἔδει καταπεσεῖν, καὶ τῇ κρίσει τῶν οὐκ εἰδότων φαύλην ἄγειν τὴν γραφήν· ὥσπερ οὐδὲ τὴν ὄντως φαύλην, θαυμαστήν τινα καὶ ἐπέραστον, ἀπὸ τῆς τῶν ἀτέχνων ἐκπλήξεως.

VII. Ὁ γὰρ ἄριστος [1]) δημιουργὸς αὐτὸς ἔστω καὶ κρι- 481
τὴς τῶν αὐτοῦ τεχνημάτων, καὶ καλὰ καὶ φαῦλα ταύτῃ τι-
θέσθω τὰ γενόμενα, ὅτ' ἂν ὁ τεχνησάμενος αὐτὰ νοῦς [2]) ταύ-
τας φέρῃ τὰς ψήφους· τὴν δὲ τῶν ἔξωθεν δόξαν, τὴν πε-
πλανημένην καὶ ἄτεχνον, μηδὲ εἰς νοῦν βαλέσθω ποτέ. Μὴ 482
τοίνυν μήτε ὁ τῆς διδασκαλίας ἀναδεξάμενος τὸν ἀγῶνα, ταῖς τῶν ἔξωθεν εὐφημίαις προσεχέτω, μηδὲ ἀπὸ τούτων τὴν ἑαυτοῦ καταβαλλέτω ψυχήν· ἀλλ' ἐργαζόμενος τοὺς λόγους, ὡς ἂν ἀρέσειε τῷ Θεῷ [3]) (οὗτος γὰρ αὐτῷ κανὼν καὶ ὅρος ἔστω

---

1) ὁ γὰρ ἄριστος. Talis postea cognitus est Chrysostomus. Certe *N. Caussinus* e S. J. in libris de Eloq. sacra et hum. passim virtutes ejus extollit; maximeque in libro XVI. qui ipse liber inscribitur Chrysostomus sive Idea, eum *magnanimitatis, pietatis, temperantiae, prudentiae, humilitatis, constantiae, zeli, facundiae, gravitatis in dicendo, majestatis eloquentiae, vehementiae, austeritatis, suavitatis, fugae plausuum, doctrinae et popularitatis* nomine, instar omnium esse ostendit. Conf. Cl. *Peracher*. Tr. Germ. pro Jubil. Tigur. p. 218.

2) ὁ τεχνησάμενος αὐτὰ νοῦς. Verissime dictum; nam alter quamvis bonus judex, de sermone, vel, ut hoc addam, de libro, vel per literas vel verbo sententiam ferens, facillime ea praetermittit, quae auctoris animo aut maxime aut minime placebant; multa secus interpretatur, multa sine causa aut praeter modum a veritate, utilitate, concinnitate laudat, aut contra reprehendit. Idcirco aut a censura plane abstinendum est, aut dicentis cujusque scribentisve idea penitus indaganda.

3) μὴ τοίνυν — ἀρέσειε τῷ θεῷ. *Praeclarum* hunc appellat *locum* Balduinus in Ep. Pauli p. 597. Ac Cynosura SS. Synodi Russicae supra laudata quum tota saluberrimis scatet institutis, tum concionatoribus in hanc ipsam sententiam complures impertit regulas p. 54 ss. Videamus nervos: *I. Concionaturi doctrina collegio ecclesiastico probata sit oportet. II. Concionatorum est solide e Scriptura sacra demonstrare poenitentiam, vitae emendationem, reverentiam erga principes, officia omnium generum: superstitionem eradicare, timorem Dei plantare. Ad summam, voluntatem Dei sanctam, bonam, perfectam, e Scriptura sacra discere et pronunciare. III. Elencho nominali neminem peccantem exacerbanto. IV. neque reprehensiones suas in quenquam vindictae causa accommodanto. V. Concionatorem, juvenem praesertim, non decet cum imperio loqui: in epanorthosi modestius NOS quam VOS dicat. VI. Quilibet ecclesiastes* S. Chrysostomi Opera *penes se habeto seduloque legito, ut puram et perspicuam reddat orationem, etiamsi Chrysostomi facultatem non assequatur. Leves autem Postillas, qua-*

μόνος τῆς ἀρίστης δημιουργίας ἐκείνων, μὴ κρότοι, μηδὲ εὐ-
φημίαι) εἰ μὲν ἐπαινοῖτο καὶ παρὰ τῶν ἀνθρώπων, μὴ δια-
κρουέσθω [4]) τὰ ἐγκώμια· μὴ παρεχόντων δὲ αὐτὰ τῶν ἀκροα-
483 τῶν, μηδὲ ζητείτω, μηδὲ ἀλγείτω. ἱκανὴ γὰρ αὐτῷ παραμυ-
θία τῶν πόνων, καὶ πάντων [5]) μείζων, ὅτ' ἂν ἑαυτῷ συνει-
δέναι δύνηται, πρὸς ἀρέσκειαν τοῦ Θεοῦ συντιθεὶς καὶ ῥυθμί-
ζων τὴν διδασκαλίαν.
484 VIII. Καὶ γὰρ ἂν φθάσῃ τῇ τῶν ἀλόγων ἐπαίνων ἐπι-
θυμίᾳ ἁλῶναι· [1]) οὐδὲν αὐτῷ τῶν πολλῶν πόνων ὄφελος,
οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως. Τὰς γὰρ ἀνοήτους τῶν πολ-
λῶν καταγνώσεις μὴ δυναμένη φέρειν ψυχὴ, ἐκλύεται [2]) καὶ

---

les Polonicae esse solent, plane missas facito. *VII. Orator sacer, ubi sentit, homiliis suis aliquid profici,* ne glorietur: *ubi nihil sentit,* ne stomachetur neve expostulet. *Illius est duntaxat concionari: cor humanum convertere, Dei opus est. VIII. Palpebrae non attollendae sunt, brachia non jactanda: nulla suae sapientiae aut eloquentiae admiratio nec verbis nec gestu alenda. IX. Et corporis et animi motus temperati sunto. X. A mentione homiliae habitae ipse abstineto in conviviis congressionibusque, et applaudentium sermones ab ea deducito.* Pari modo Centum e pluribus capita ministro ecclesiae vitanda, *Balth. Menzeri* Disputationibus synodalibus adjecta hi. V. articuli concludunt: *Destitui interiori illius doctrinae sensu, quam aliis vult commendare. In semetipso non exsuscitare affectum, quem aliis vult imprimere. Zeli ardorem prae se ferre, et interim securo esse animo. Non prius tacita super peccatis populi cogitatione discruciari, quam indignationis signa edere. Unquam preces omittere, ut feliciter succedat omne cum populo in sacris dispensandis negotium.* Porro *Spenerus* in Aphorismis aureis, ad quos ministri ecclesiae se explorent, hunc habet: *Summamne minister dederit operam, ut ne ipse esset, qui ex se officium faceret, sed se Deo organon permitteret?* Vide etiam Aphorismos ibi sequentes, et Ven. D. *Pauli Antonii* Elementa homiletica cum Monitis ex *Fr. Lamberto*, iterumque lib. *Wecker der Lehrer* p. 126 ss. Quae qui observarit, hoc consecuturus est, ut uni Deo placere curet, et Deo piisque auditoribus placeat.

4) *μὴ διακρουέσθω. ne repudiet.* vid. de hujus verbi significatu *Krebs.* ad Plutarch. de Audiend. Poët. Cap. VIII, p. 170. *L.*

5) *πάντων.* Id est, *πόνων. Cant. ed. II.* Est anthitheton: *πάντων, ἑαυτῷ* i. e. *major consolatio consolatione ea, quam* omnes ceteri *dare queant.* Sermo concisus, uti §. 211. [*Savilius* in margine *πασῶν*, ut referatur ad *παραμυθία*. Sed maneat *πάντων*. Et verte: *Satis enim magnum est solatium,* et quod *omnes labores abunde* compensat. *Hughes.*]

1) *φθάσῃ — ἁλῶναι. Nam si laudis cupidine abreptus fuerit.* Habes hic verbum *φθάνω* cum infinitivo. Solemnior hujus verbi structura est cum participio juncti vid. *Matthiae* Gr. p. 802 et *Goeller.* ad Thucyd. I, c. 33. p. 110 seq. *L.*

2) *ἐκλύεται. animus fatiscit.* vid. Diod. Sic. XX, 1. Polyb. XXIX, 6, 14. 1. Maccab. IX, 8. *Schleusner.* in Lex. N. T. et *Matthaei* l. l. Homilia II, not. 94. *L.*

τὴν περὶ τὸ λέγειν ῥίπτει σπουδήν. Διὰ τοῦτο χρὴ μάλιστα
πάντων πεπαιδεῦσθαι ἐπαίνων ὑπερορᾶν· οὐ γὰρ ἀρκεῖ τὸ λέ-
γειν εἰδέναι πρὸς τὴν ταύτης τῆς δυνάμεως φυλακήν, ἂν μὴ
καὶ τοῦτο προσῇ. Εἰ δέ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι καὶ τὸν 485
ἐν ἐνδείᾳ καθεστῶτα ταύτης τῆς ἀρετῆς· εὑρήσει δεόμενον τοῦ
τῶν ἐπαίνων καταφρονεῖν οὐχ ἧττον, ἢ τοῦτον. Καὶ γὰρ 486
πολλὰ ἁμαρτάνειν ἀναγκασθήσεται, τῆς τῶν πολλῶν δόξης ἥτ-
των γενόμενος· ἀτονῶν γὰρ ἐξισωθῆναι [3]) τοῖς εὐδοκιμοῦσι [4])
κατὰ τὴν τοῦ λέγειν ἀρετὴν, ἐπιβουλεύειν τε αὐτοῖς καὶ δια-
φθονεῖσθαι, καὶ μέμφεσθαι μάτην, καὶ πολλὰ τοιαῦτα ἀσχη-
μονεῖν οὐ παραιτήσεται, ἀλλὰ πάντα τολμήσει, κἂν τὴν ψυ-
χὴν ἀπολέσθαι δέῃ, ὑπὲρ τοῦ τὴν ἐκείνων δόξαν εἰς τὴν τῆς
ἰδίας εὐτελείας καταγαγεῖν ταπεινότητα. Πρὸς δὲ τούτοις καὶ 487
τῶν ἱδρώτων ἀποστήσεται τῶν περὶ τὸ πονεῖν, νάρκης ὥσπερ
τινὸς κατασκεδασθείσης [5]) αὐτοῦ τῆς ψυχῆς. τὸ γὰρ πολλὰ
μοχθοῦντα ἐλάττονα καρποῦσθαι ἐγκώμια, ἱκανὸν καταβαλεῖν
καὶ τρέψαι πρὸς ὕπνον βαθὺν, τὸν οὐ δυνάμενον ἐγκωμίων
καταφρονεῖν· ἐπεὶ καὶ γεωργὸς, ὅτ᾽ ἂν εἰς λεπτόγεων [6]) κά-
μνῃ χωρίον καὶ πέτρας ἀναγκάζηται γεωργεῖν, ταχέως ἀφίστα-

3) *ἐξισωθῆναι.* ***Metus comparationis*** (de quo vid. ***Buddei*** diss.) ut nonnihil interdum utilitatis habeat, incredibiliter noxius in politia et ecclesia semper fuit.

4) *τοῖς εὐδοκιμοῦσι.* Idem verbum, §. 60. 275. 475. 544.

5) *νάρκης ὥσπερ τινὸς κατασκεδασθείσης αὐτοῦ τῆς ψυχῆς.* Sic l. 3. pro Vita mon. c. 15. *φροντίδες ἱκαναὶ πολλὴν τῆς ψυχῆς κατασκεδάσαι νάρκην.* Aristophanes, *τί ποθ᾽ ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται;* nam Hesychius, *κατασκεδάσαι, καταχέαι.* Palatinus, *τῇ ψυχῇ·* idem §. 494, *τῇ ἑαυτοῦ ψυχῇ.* Exempla utriusque casus cum *κατασκεδάζω* ex Chrysostomo dat Suicerus. Confert huc ***Cant. ed. secunda*** locum ***Xenophontis***, *ἀναστὰς ὁ σεύθης* (Thrax. scil.) *συνεξέπιε καὶ συγκατεσκέδασε τῷ μετ᾽ αὐτοῦ τὸ κέρας·* et a doctis varie habitum nova ratione tentat, *τῶν μετ᾽ αὐτοῦ* legens. Illud recte docetur, innui morem Thracum, qui, cum in convivio sat bibissent, reliquum vini contra vestes sodalium effundere solerent; id quod dicebant *κατασκεδάζειν.* [Testis hujus rei est Suidas, qui, *ἔθος ἦν*, inquit, *Θρᾴκιον ἐν τοῖς συμποσίοις, ἵνα, ὅταν πίωσι τοῦ οἴνου οἱ συμπόται ὅσον δύνωνται, τὸ λοιπὸν τοῦ οἴνου καταχέωσι κατὰ τῶν ἱματίων τῶν συμποτῶν· ὅπερ ἔλεγον κατασκεδάζειν.* Cf. Plato De Legg. Lib. I, pag. 31. Bip. *L.*] Sed hic quidem *τῷ* regitur à *σὺν*, unde quum Athenaeus et Suidas verba Xenophontis inducant, apud hunc *τὸ* vitiose, sed tamen simili sono, apud illum plane *τῷ* exstat. [De loco Xenophonteo, cujus mentionem facit ***Bengel***, et qui legitur in Anabas. VII, 3, 16. vid. ***Poppo*** in edit. hujus libri p. 380. De vocabulo *νάρκη*, ***torpedo***, vide, quae observavit ***Matthaei*** l. l. T. I, Homilia II, not. 95. p. 101. *L.*]

6) *λεπτόγεων.* *Λεπτόγεως, λεπτὴ γῆ, μὴ λιπαρά.* Hesych. ***Cant. ed.*** 2. [Eadem editio habet *λεπτόγειων.* Tantandem. ***L.***]

ται τοῦ πονεῖν, ἣν μὴ πολλὴν περὶ τὸ πρᾶγμα κεκτημένος ᾖ
488 τὴν προθυμίαν, ἢ λιμοῦ δέος ἐπικείμενον ἔχῃ. Εἰ γὰρ οἱ
μετὰ πολλῆς τῆς ἐξουσίας δυνάμενοι λέγειν, τοσαύτης δέονται
τῆς γυμνασίας πρὸς τὴν τῆς κτήσεως φυλακήν· 7) ὁ μηδὲν
ὅλως συναγαγὼν, ἀλλ᾽ ἐν τοῖς ἀγῶσιν ἀναγκαζόμενος μελε-
τᾶν, 8) πόσην ὑποστήσεται τὴν δυσχέρειαν, πόσον θόρυβον,
πόσην ταραχὴν, ἵνα πολλῷ τῷ μόχθῳ μικρόν τι συναγαγεῖν
489 δυνηθῇ; Ἂν δέ τις καὶ τῶν μετ᾽ αὐτοῦ 9) τεταγμένων, καὶ
τὴν ἐλάττω τάξιν λαχόντων, ἐν τῷ μέρει τούτῳ μᾶλλον ἐκεί-
νου διαφανῆναι δυνηθῇ· θείας τινὸς δεῖ ψυχῆς ἐνταῦθα, ὥστε
μὴ ἁλῶναι βασκανίᾳ, μηδὲ ὑπὸ ἀθυμίας καταπεσεῖν. τὸ γὰρ
ὑπὸ τῶν ἐλαττόνων παρευημερεῖσθαι αὐτὸν ἐν ἀξιώματι καθ-
εστῶτα μείζονι, καὶ φέρειν γενναίως, οὐ τῆς τυχούσης, οὐδὲ
490 τῆς ἡμετέρας, ἀλλά τινος ἀδαμαντίνης ἂν εἴη ψυχῆς. Κἂν μὲν
ἐπιεικὴς ᾖ καὶ μέτριος ἄγαν ὁ παρευδοκιμῶν, φορητὸν ὁπωσ-
οῦν γίνεται τὸ πάθος· ἂν δὲ καὶ θρασὺς καὶ ἀλαζὼν καὶ
φιλόδοξος, θάνατον 10) ἐκείνῳ καθ᾽ ἑκάστην εὐκτέον ἡμέραν,

---

7) *πρὸς τὴν τῆς κτήσεως φυλακήν*, *ut eam, quam possident, dicendi facultatem non amittant. L.*

8) *μελετᾶν*. Verbum hoc Sophistis frequens Chrysostomus in hac tota disputatione videtur studio vitasse: tantum hic adhibet oxymori gratia, *ἐν τοῖς ἀγῶσι μελετᾶν*. namque *μελέτη* est ante *ἀγῶνα*. Vid. Not. ad *Gregori Thaum.* Paneg. p. 166. *Luciani* pseudologistam, et conf. *Cic.* l. 1. de Or. c. 60. Lucem affert idem *Gregorius* tmem. 6. *νοήσει μὲν καὶ εὑρήσει φίλον πως καὶ συνεργόν ἐστι σιωπὴ, τὸ δὲ εὔλαλον καὶ εὔηχον ἐν λόγῳ οὐκ ἀλλαχόθι ἄν που ζητῶν εὕροις, ἢ ἐν φωναῖς καὶ τῇ τούτων συνεχεῖ μελέτῃ*. i. e. *cogitatione* etc. *quam in declamationibus earumque assidua commentatione.* Opponuntur *silentio*, et *τὸ εὔλαλον καὶ εὔηχον* alere dicuntur, et *μελέτη* et *declamatio;* quarum illa hanc Graecis, haec illam Romanis simul connotare solet: utramque autem Gregorius, enumerationis plenitudinem quaerens, exprimere conatus est. Sic, opinor, expedita sunt, quae elegans Euphemeris, *Historie der Gelehrsamkeit unserer Zeiten*, VII. *Stück* p. 590 s. in recensione Panegyrici haud pridem editi de hoc loco attigit, *declamationem* suggerens pro *commentatione*. at nos gratiam monitori humanissimo habentes, sic *declamationes* (quum antea *φωνὰς* cum Rhodomano *voces* dixissemus) nunc amplectimur, ut *commentationem* retineamus. quo ipso etiam Chrysostomi locus ejusque interpretatio declarata est.

9) *αὐτοῦ*. Al. *αὐτὸν*, sensu eodem: nisi quod *αὐτοῦ* cum *μετὰ* et *conjunctum* et *adjunctum* notat, quod utrumque ad rem pertinet. [Praeferendum videtur *αὐτόν*. Verba sequentia *καὶ τὴν ἐλάττω τάξιν λαχόντων* sapiunt glossema. *L.*]

10) *θάνατον*. *Qui rumore et favore populi tenetur et ducitur: plausum, immortalitatem; sibilum*, mortem *videri necesse est.* Cic. pro Sextio. Chrysostomus homiletis nonnullis plausum *βασιλείας ἴσον*, ejusdem negati moerorem *γεέννης χαλεπώτερον* fuisse ait Homil. cit. in Acta.

οὕτως αὐτῷ πικρὰν καταστήσει τὴν ζωὴν, ἐπεμβαίνων φανε-
ρῶς, καταμωκώμενος [11]) λάθρα, τῆς ἐξουσίας πολλὰ παρα-
σπῶν τῆς ἐκείνου, πάντα αὐτὸς εἶναι βουλόμενος. μεγίστην δὲ
ἐν ἅπασι τούτοις ἀσφάλειαν, τὴν ἐν τῷ λέγειν κέκτηται παῤ-
ῥησίαν, καὶ τὴν τοῦ πλήθους περὶ αὐτὸν σπουδὴν, καὶ τὸ φι-
λεῖσθαι παρὰ τῶν ἀρχομένων ἁπάντων. ἢ οὐκ οἶδας, ὅσος 491
ταῖς τῶν Χριστιανῶν ψυχαῖς λόγων ἔρως [12]) εἰσεκώμασε [13])
νῦν; καὶ ὅτι μάλιστα πάντων οἱ τούτους ἀσκοῦντες ἐν τιμῇ,

---

11) *καταμωκώμενος.* Chald. מוק *irridere.* Gr. *μῶκος*, *irrisor.* verbum etiam Belgis, Anglis, Gallis usitatum. [Heliodorus Lib. VII, p. 350. *ἐγγελῶν καὶ τοῦ Θεαγένους καταμωκώμενος.* Cf. 2. Paralip. XXX, 10. Sirac. XIII, 9. Suidas: *καταμωκώμενος· χλευαζόμενος.* Hesychius: *καταμωκᾷ· καταγελᾷ.* Respondet Latinorum *subsannare.* Vid. *Salmas. Scriptt. Hist. August.* p. 283. *L.*]

12) *ἔρως.* Idem dicit §. 452. Facile hinc existimari possit, aevo illo Augusteo Romae novae eloquentiam atque adeo linguam Graecam quadam quasi *παλιγγενεσίᾳ*, non diu quidem, gavisam, et opinione fortasse magis, quam revera inferiorem fuisse temporibus illorum veterum, qui §. 424. appellantur. Majori detrimento studium illud quam ornamento fuisse regno Christi, neque hoc loco neque alibi diffitetur Chrysostomus, et res ipsa probat; multique praesertim inde conatus in monumenta ecclesiastica temerarii sunt nati: sed iis tamen, quos illud studium delectat, vel haec res persuadere tantisper debebat, ut Christianos potius quam profanos colerent. *Vincentius Obsopoeus*, quum *Marci Eremitae* libellos ederet, id eo factum consilio praefatus est, ut hos ipsos scholae suae discendos proponeret. *nam quod ad hujus Marci*, inquit, *gnomas attinet, ejus generis mihi esse videntur, ut puerorum potius pectoribus instillandae sint, quam Theognidis versiculi gnomologici. nam multa valde pie, omnia certe eleganter et docte in his docentur.* Dialogos *Theodoreti Suicerus* in Praef. Observationum, quas recens a lectione omnium Graecorum patrum edidit, loco profanorum auctorum in gymnasiis publice explicandos censuit; cum ipse antea *ἐμπύρευμα εὐσεβείας* ex Chrysostomo, Basilio aliisque edidisset. Atque in ipso Chrysostomo complures pridem id fecerunt alii. Homiliarum selectarum editio *Jaegeriana*, cum luculenta praefatione, patres potius quam externos scriptores in scholis Christianis tractandos asserente; homiliarum in Ep. ad Philemonem, *Rapheliana* exstat. utramque *Fabricius* Bibl. Gr. Vol. 7. p. 649 s. eo nomine laudat, quod *utile hoc sit institutum, ex vasta illa ac sumtuosa voluminum Chrysostomi mole seligere quaedam et juventuti minoribus facileque parabilibus libellis legenda commendare.* De hoc ipso Dialogo in Praefatione egimus: scriptor Ephem. Londin. quum editionem ejus Cantabrigiensem probasset, addit: *Optandum esset, ut optimi tractatus patrum excuderentur separatim, in usum eorum, qui non habent facultatem emendi opera horum scriptorum veterum.*

13) *ψυχαῖς εἰσεκώμασε*, *an ignoras, quantum Christianorum animis hodie studium orationum invaserit.* Legitima constructio. [Non inepte usus est Chrysostomus verbo *εἰσκωμάζειν*, quod dicitur proprie de juvenibus, qui post coenas per vicos obambularent et in domos non clausas invaderent. Descendit enim hoc verbum a *κῶμος*, de quo vid. *Wahl.* in Clav. N. T. T. I, p. 873. *L.*]

οὐ παρὰ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς τῆς πίστεως
492 οἰκείοις; Πῶς οὖν ἄν τις ἐνέγκοι τοσαύτην αἰσχύνην, ὅτ' ἂν αὐτοῦ μὲν φθεγγομένου πάντες σιγῶσι,[14]) καὶ διοχλεῖσθαι νομίζωσι, καὶ τοῦ λόγου τὸ τέλος, ὥσπερ τινα πόνων ἀνάπαυσιν, περιμένωσι· θατέρου δὲ καὶ μακρὰ λέγοντος μετὰ προθυμίας ἀκούωσιν, καὶ παύσεσθαι μέλλοντος δυσχεραίνωσι, καὶ
493 σιγᾶν βουλομένου παροξύνωνται; Ταῦτα γὰρ εἰ καὶ μικρά σοι δοκεῖ εἶναι νῦν καὶ εὐκαταφρόνητα, διὰ τὸ ἀπείρατον· ἀλλ' ἱκανά γε ἐστὶ προθυμίαν σβέσαι, καὶ ψυχῆς παραλῦσαι δύναμιν, ἣν μὴ πάντων τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἀνασπάσας παθῶν, ὁμοίως ταῖς ἀσωμάτοις μελετήσῃ διακεῖσθαι δυνάμεσιν, αἳ μήτε φθόνῳ, μήτε δόξης ἔρωτι, μήτε ἑτέρῳ τινὶ
494 τοιούτῳ θηρῶνται νοσήματι. Εἰ μὲν οὖν τίς ἐστιν ἀνθρώπων τοιοῦτος, ὡς δύνασθαι τὸ δυσθήρατον τοῦτο καὶ ἀκαταγώνιστον καὶ ἀνήμερον θηρίον, τὴν τῶν πολλῶν δόξαν, καταπατεῖν, καὶ τὰς πολλὰς αὐτῆς ἐκτέμνειν κεφαλὰς, μᾶλλον δὲ μηδὲ φῦναι τὴν ἀρχὴν συγχωρεῖν· δυνήσεται εὐκόλως καὶ τὰς πολλὰς ταύτας ἀποκρούεσθαι προσβολὰς, καὶ εὐδίου[15]) τινὸς ἀπολαύειν λιμένος.[16]) ταύτης δὲ οὐκ ἀπηλλαγμένος, πόλεμόν τινα πολυειδῆ, καὶ θόρυβον συνεχῆ, καὶ ἀθυμίας καὶ τῶν λοιπῶν παθῶν τὸν ὄχλον κατασκεδάζει τῆς ἑαυτοῦ ψυχῆς.[17])
495 Τί δεῖ τὰς λοιπὰς καταλέγειν δυσκολίας; ἃς οὔτε εἰπεῖν οὔτε μαθεῖν δυνήσεταί τις, μὴ ἐπὶ τῶν πραγμάτων γενόμενος αὐτῶν.

---

14) *σιγῶσι.* *Silentium* hic dicitur denegati applausus; alibi, attentae auscultationis, de quo *Cresoll.* Theat. rhet. p. 290.

15) *εὐδίου.* Aliquot Mss. *εὐδιεινοῦ.* *Montef.* Placet medium Augustani, *εὐδινοῦ.* Hesychius, *εὐδινὰ, πραέα, κατεσταλμένα.* *εὔδιος* exstat §. 301. [Male **Bengelius** stat pro lectione *εὐδινοῦ.* Nam *εὐδινὸς* est id. q. *εὐδίνητος* et significat, quod facile volutari potest. Ergo in nostrum locum omnino non quadrat. Aptissimum huic loco videtur *εὐδιεινός*, quod dicitur de iis rebus, quae vento et frigori non sunt expositae. Vid. Xenoph. De Venat. V, 9. ubi lepus dicitur, *ποιούμενος εὐνὴν, ὅταν μὲν ᾖ ψυχὴ, ἐν εὐδιεινοῖς* sc. *χωρίοις.* *L.*]

16) *λιμένος.* *Gregorius M.* Curae pastoralis partem extremam habet hanc: *qualiter praedicator omnibus rite peractis ad semetipsum redeat.*

17) *κατασκεδάζει τῆς ἑαυτοῦ ψυχῆς.* Cod. Olivar. habet *κατασκεδάσει*, quae lectio, quia de re futura h. l. agitur, unice vera esse videtur. **Ducaeus** scripsit *κατασκευάζει τῇ ἑαυτοῦ ψυχῇ*, quae tamen lectio ex glossemate orta videtur. Vid. **Hughes** ad h. l. pag. 303. *L.*

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ ϛ'.

Τάδε ἔνεστιν ἐν τῷ ϛ' λόγῳ.

α'. Ὅτι καὶ ταῖς εὐθύναις τῶν ἑτέροις ἁμαρτανομένων ὑπόκεινται οἱ ἱερεῖς.
β'. Ὅτι τῶν μοναζόντων πλείονος δέονται ἀκριβείας.
γ'. Ὅτι πλείονος εὐκολίας ἀπολαύει ὁ μονάζων, παρὰ τὸν ἐκκλησίας προεστῶτα.
δ'. Ὅτι τῆς οἰκουμένης τὴν προστασίαν ἐμπεπίστευται ὁ ἱερεὺς, καὶ ἕτερα πράγματα φρικτά.
ε'. Ὅτι πρὸς πάντα ἐπιτήδειον εἶναι χρὴ τὸν ἱερέα.
ϛ'. Ὅτι οὐχ οὕτω τὸ μονάζειν, ὡς τὸ πλήθους προεστάναι καλῶς, καρτερίας σημεῖον.
ζ'. Ὅτι οὐχ ὑπὲρ τῶν αὐτῶν, τῷ τε καθ' ἑαυτὸν ὄντι καὶ τῷ ἐν μέσῳ στρεφομένῳ, ἡ ἄσκησίς ἐστιν.
η'. Ὅτι εὐκολώτερον τὴν ἀρετὴν οἱ καθ' ἑαυτοὺς ὄντες, ἢ οἱ πολλῶν φροντίζοντες κατορθοῦσιν.
θ'. Ὅτι οὐ χρὴ καταφρονεῖν τῆς τῶν πολλῶν ὑπολήψεως, κἂν ψευδὴς οὖσα τύχῃ.
ι'. Ὅτι οὐ μέγα σῶσαι ἑαυτόν.
ια'. Ὅτι πολλῷ χαλεπωτέρα μένει τιμωρία τὰ τῶν ἱερέων ἁμαρτήματα, ἢ τὰ τῶν ἰδιωτῶν.
ιβ'. Ἐκ παραδειγμάτων παράστασις καὶ τῆς ὀδύνης, τῆς διὰ τὴν προσδοκίαν τῆς ἱερωσύνης γενομένης, καὶ τοῦ φόβου.
ιγ'. Ὅτι παντὸς πολέμου χαλεπώτερος ὁ τοῦ διαβόλου πρὸς ἡμᾶς.

Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, οἷάπερ ἤκουσας· τὰ δὲ ἐκεῖ 1) 496
πῶς οἴσομεν, ὅτ' ἂν καθ' ἕκαστον τῶν πιστευθέντων ἀναγ-
καζώμεθα τὰς εὐθύνας ὑπέχειν; οὐ γὰρ μέχρις αἰσχύνης ἡ ζη-
μία, ἀλλὰ καὶ αἰώνιος ἐκδέχεται κόλασις. Τὸ γὰρ, πείθε- 497
σθε 2) τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυ-
πνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, 3) εἰ

1) *ἐκεῖ.* In vita altera, post mortem. *L.*

2) *πείθεσθε.* Locus notissimus legitur Hebr. XIII, 17. *L.*

3) *ὡς λόγον ἀποδώσοντες.* Ed. prima omittit. Saepe dicta nota non omnibus suis verbis recitantur: et hoc loco verisimile est, Johannem haec tria verba *εὐλαβείας* causa reticuisse, memorem eorum, quae §. 338. dixisset; librarium, quasi maxime ad rem pertinentia, supplevisse. [Equidem non puto, haec verba a Chrysostomo omissa esse, nam totum versiculum horum trium vocabulorum gratia attulit. *L.*]

καὶ πρότερον εἶπον, ἀλλ᾽ οὐδὲ νῦν σιωπήσομαι. ὁ γὰρ φό-
βος ταύτης τῆς ἀπειλῆς συνεχῶς κατασείει [4]) μου τὴν ψυχήν.
498 Εἰ γὰρ τῷ μόνον ἕνα σκανδαλίζοντι [5]) καὶ ἐλάχιστον, συμφέ-
ρει, ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ, καὶ
καταποντισθῇ εἰς τὴν θάλατταν, καὶ πάντες οἱ τὴν συνείδη-
σιν τῶν ἀδελφῶν τύπτοντες, εἰς αὐτὸν ἁμαρτάνουσι τὸν Χρι-
στόν· οἱ μὴ μόνον ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ πλήθη το-
σαῦτα ἀπολλύντες, τί ποτε ἄρα πείσονται, καὶ ποίαν δώ-
499 σουσι δίκην; Οὐδὲ γὰρ ἀπειρίαν ἐστὶν αἰτιάσασθαι, οὐδὲ εἰς
ἄγνοιαν καταφυγεῖν, οὐδὲ ἀνάγκην προβαλέσθαι καὶ βίαν·
ἀλλὰ θᾶττον ἄν τις τῶν ἀρχομένων, εἴγε ἐνῆν, ἐν ταῖς
οἰκείαις ἁμαρτίαις ἐχρήσατο ταύτῃ τῇ καταφυγῇ, ἢ ἐν ταῖς
500 ἑτέρων οἱ προεστῶτες. Τί δήποτε; ὅτι ὁ ταχθεὶς τὰς τῶν
ἄλλων ἀγνοίας ἐπανορθοῦν, καὶ τὸν διαβολικὸν πόλεμον προ-
μηνύειν [6]) ἐρχόμενον, οὐ δυνήσεται προβαλέσθαι τὴν ἄγνοιαν,
οὐδὲ εἰπεῖν, οὐκ ἤκουσα τῆς σάλπιγγος, οὐ προῄδειν τὸν πό-
501 λεμον. Ἐπὶ τούτῳ γὰρ ἐκάθισεν, ὥς ὁ Ἰεζεκιὴλ [7]) φησιν, ἵνα
καὶ τοῖς ἄλλοις σαλπίζῃ, καὶ προμηνύῃ τὰ μέλλοντα δυσχερῆ.
καὶ διὰ τοῦτο ἀπαραίτητος ἡ κόλασις, κἂν εἷς ὢν ὁ ἀπολω-
λὼς τύχῃ. ἐὰν γὰρ τῆς ῥομφαίας ἐρχομένης, μὴ σαλπίσῃ τῷ
λαῷ, μηδὲ σημάνῃ (φησὶν) ὁ σκοπὸς, καὶ ἐλθοῦσα ἡ ῥομφαία
λάβῃ ψυχήν· αὐτὴ μὲν διὰ τὴν ἀνομίαν αὐτῆς ἐλήφθη, τὸ δὲ
αἷμα αὐτῆς ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω.
502 II. Παῦσαι τοίνυν ὑμᾶς ὠθῶν εἰς οὕτως ἄφυκτον [1]) δί-
503 κην. οὐ γὰρ ὑπὲρ στρατηγίας οὐδὲ βασιλείας [2]) ἡμῖν ὁ λόγος,

---

4) *κατασείει.* *G. Bullus* lib. cit. p. 32. hoc ipsum, *ut ratio-nem reddituri*, producens, addit: *Terroris sane plena consideratio! et S. Chrysostomus docet nos, textum hunc legenti sibi κατασείειν τὴν ψυχὴν, efficere intra sese quendam quasi terrae motum:* idemque laudatis p. 33. ad h. l. apostolicum verbis Chrysostomi cum aliis, tum maxime illis: *θαυμάζω εἴ τινά ἐστι τῶν ἀρχόντων σωθῆναι, miror, si quisquam eorum, qui praesunt, salvari potest*, subiungit: *Pathetica hyperbola! profundum Chrysostomi sensum exprimens de summo pastoralis officii periculo.* Omnino Homilia illa in Ep. ad Hebr. indicat, semper illum locum, *Parete — reddituri*, ei fuisse in animo.

5) *σκανδαλίζοντι.* Matth. XVIII, 6. *L.*

6) *τὸν διαβολικὸν — προμηνύειν*, *annuntiare bellum cum Satana subeundum.* Sapient. Salom. XVIII, 19. *ὄνειροι θορυβήσαντες αὐτοὺς τοῦτο προεμήνυσαν.* *L.*

7) *Ἰεζεκιὴλ.* c. III, 16 s.

1) *ἄφυκτον* *est inexplicabile, quo quasi irretitus vix possis expediri.* Platon Euthyd. §. 14. *πάντ᾽, ἔφη, τοιαῦτα ἡμεῖς ἐρωτῶμεν ἄφυκτα.* Vid. *Heindorf.* ad Plat. Theaetet. p. 359. *L.*

2) *βασιλείας.* Ὑπὲρ βασιλείας. *Montef.*

ἀλλ' ὑπὲρ πράγματος ἀγγελικῆς ἀρετῆς δεομένου. Καὶ γὰρ 504
τῶν ἀκτίνων αὐτῶν καθαρωτέραν [3]) τῷ ἱερεῖ τὴν ψυχὴν εἶ-
ναι δεῖ, ἵνα μή ποτε αὐτὸν ἔρημον καταλιμπάνῃ τὸ Πνεῦμα
τὸ ἅγιον, [4]) ἵνα δύνηται λέγειν· Ζῶ δὲ, οὐκ ἔτι ἐγὼ, ζῇ δὲ
ἐν ἐμοὶ Χριστός. [5]) Εἰ γὰρ οἱ τὴν ἔρημον οἰκοῦντες, καὶ πό- 505
λεως καὶ ἀγορᾶς καὶ τῶν ἐκεῖθεν ἀπηλλαγμένοι θορύβων, καὶ
διαπαντὸς λιμένων καὶ γαλήνης [6]) ἀπολαύοντες, οὐκ ἐθέλουσι
θαῤῥεῖν τῇ τῆς διαίτης ἐκείνης ἀσφαλείᾳ· ἀλλὰ μυρίας ἑτέρας
προστιθέασι φυλακὰς, πάντοθεν ἑαυτοὺς περιφράττοντες, καὶ
μετὰ πολλῆς τῆς ἀκριβείας καὶ λέγειν ἅπαντα καὶ πράττειν
σπουδάζοντες, ἵνα μετὰ παῤῥησίας καὶ καθαρότητος εἰλικρι-
νοῦς, ὅσον εἰς ἀνθρωπείαν ἧκε δύναμιν, προσιέναι τῷ Θεῷ [7])

---

3) *καθαρωτέραν.* *N. Hemmingius* in *Pastore*, ejus ideam pro vita privata, domestica, civili, ipsaque pastorali, quatuor informavit partibus, totam partem primam definiit studio *puritatis*, ex 1. Tim. 5, 22. puritatem autem dicit primum *animi* h. e. mentis, cogitationum, affectuum, voluntatis, studii, deinde corporis.

4) *τὸ ἅγιον.* Hoc ipso quam non carere possit sacerdos, vide Joh. 20, 22.

5) *Χριστός.* Gal. 2, 20. Confer, quae Paulus de se ut ministro evangelii scribit 2. Cor. 13, 3. Rom. 15, 18.

6) *γαλήνη* proprie est *tranquillitas maris.* Homer. Odyss. VII, 319. Xenoph. Anabas. V, 7, 8. H. l. in universum tranquillitatem notat. Commode tamen hoc vocabulo usus est Chrysostomus ob praecedens *λιμένων. L.*

7) *προσιέναι τῷ θεῷ.* Aurea et edisci digna sunt verba *Gregorii Naz.* in Apologetico, illo se amore solitudinis fugisse confitentis. [ed. *Thirlb.* p. 321. *L.*] *Meo subibat*, inquit, *animo desiderium quoddam illius boni, quod in quiete inest atque in solitudine: quam cum tantum amassem ab initio, quantum haud scio an quisquam eorum qui in studio literarum versantur, cumque eam in maximis gravissimisque periculis Deo recepissem; quanquam antea jam attigeram quasi in vestibulo, quo quidem majorem in me cupiditatem accenderat experientia: non sum passus cogi me, in mediosque tumultus extrudi, et quasi a sacro quodam asylo vi abstrahi. Nihil enim tam optandum existimavi, quam ut clausis sensibus, extra carnem et mundum positus et intra me ipsum collectus, nil rerum humanarum citra summam necessitatem attingens, mecum colloquens et CUM DEO, supra ea quae cernuntur degerem: ut divinas* (ἐμφάσεις) *illustrationes semper puras in me ipso ferrem, ab iis quae infra errant formis sinceras, tanquam qui revera speculum Dei divinarumque rerum nitidissimum et essem et semper fierem, super lucem adauctus luce, eaque super obscuriorem clariore; denique boni illius, quod futurum habet aevum, spe non simplici fructum percipiens: ut versarer inter angelos, terram, in terra dum essem, relinquens, et a spiritu supra collocatus.* Id verò est Deo se probare. §. 275. [Eximia, quam Chrysostomus de vita monastica habebat, opinio ab eo exponitur imprimis in tribus libris, quos pro vita religiosa scripsit. „Monachum in his libris asserit quovis mun-

δύνωνται· πόσης οἴει δεῖν τῷ ἱερωμένῳ καὶ δυνάμεως καὶ βίας,
ὥστε δυνηθῆναι παντὸς ἐξαρπάσαι μολυσμοῦ τὴν ψυχὴν, καὶ
506 ἀσινὲς τὸ πνευματικὸν τηρῆσαι κάλλος; 8) Καὶ γὰρ πολλῷ
μείζονος αὐτῷ δεῖ καθαρότητος, 9) ἢ ἐκείνοις· καὶ ᾧ μείζο-
νος δεῖ, οὗτος πλείοσιν ἀνάγκαις ἐκείνων ὑπόκειται, ταῖς δυ-
ναμέναις αὐτὸν ῥυποῦν, ἢν μὴ τῇ διηνεκεῖ νήψει καὶ τῷ πολλῷ
507 τόνῳ χρησάμενος, ἄβατον αὐταῖς ἐργάσηται τὴν ψυχήν. Καὶ
γὰρ προσώπων 10) εὐμορφία, καὶ κινημάτων διάθρυψις, 11)

---

dano illustriorem, potentiorem, atque etiam divitiorem esse; monet, quam sit difficile in mundo salutem assequi, in educandis liberis ad normam Christianam quanta insit difficultas. Monachorum statum cum angelorum ac sanctorum statu confert." *Du Pin. Nova Bibliothec. Auctor. Ecclesiast.* T. III, p. 58. *L.*]

8) *καὶ ἀσινὲς — κάλλος*, *et indelibatam servare animae pulchritudinem.* Cf. §. 212. *L.*

9) *καθαρότητος.* *Sunt in ecclesia universa tres hominum status, qui si invicem comparentur, alter alterum clarius indicabit. Primus est secularium laicorum, cui hoc inest incommodum, quod pauca habet ad perfectionem adjumenta, multa vero impedimenta: sed hoc tamen commodi, quod nullam habet perfectionis obligationem praeter eam quam evangelicae leges omnibus Christianis imponunt. Secundus est religiosorum, qui aliqua certe obligatione tenentur, non tam ut sint perfecti, quam ut esse cupiant et conentur; sed ad hoc tam multa et tam magna nacti sunt praesidia, itaque remoti sunt ab omnibus impedimentis, ut non solum facile, sed etiam jucunde ac suaviter id consequi possint. Tertius est hic de quo agimus, clericorum, qui si recte perpendamus, utriusque fere incommodis premitur, utriusque autem fere commodis caret. primum enim eandem habent quam religiosi obligationem perfectionis adipiscendae, ac sine dubio aliquanto etiam majorem, ex ministerii praestantia, et sacramentorum, quae conficiunt divinitate, ex animarum gubernatione: neque tamen habent ea, quae religiosi adjumenta, neque eum gratiae uberioris influxum, de quo multa diximus. rursus hoc etiam deteriori conditione esse videntur, quam ipsi laici, quod nec illorum excusatione uti possunt, si minus perfecti sint, et tamen eadem pene omnia, quae illi, perfectionis impedimenta patiuntur.* Hier. Platus de Bono status relig. p. 218. ed. Ingolst. Quae recto judicio accepta, multam cogitandi materiam praebent.

10) *προσώπων — γένος.* Sic *Ephraim*, *περὶ ἀρετῶν καὶ κακιῶν*, c. 23. praeter cetera notat *χρόας σωμάτων*, *λαλιὰς κολακευτικὰς*, *σώματος* (leg. *ᾄσματος*) *ἡδύτητα*, *ἐνοπτρισμοὺς κινημάτων.* *Basilius Sel.* Or. 8. de Joseph ab hera frustra solicitato: *τὰς δι' ὀμμάτων ἀπάτας*, *τὰς δι' ὀσφρήσεως. λίθους* (fort. *τὰς δι' ὀσφρήσεως ἐπαγωγὰς*, *τοὺς διὰ γεύσεως ὀλίσθους*) *τὰς δι' ἀκοῶν τῆς ψυχῆς πολιορκίας*, *τὰς διὰ φύσεως κλάσεις* (fort. *δι' ἁφῆς ἐπικλάσεις*) *τοῦ σώματος.* hiatum certe arguit quod continuo sequitur, *δι' ΟΛΩΝ γὰρ ὥδευε τῶν αἰσθητηρίων τὰ θέλγειν ἰσχύοντα.* Plurima de veteri ornatus muliebris varietate collegit *Andr. Tiraquellus* in Leg. connub. f. 41—69. et *Joh. Pricaeus* in Annot. ad 1. Tim. 2, 9.

11) *κινημάτων διάθρυψις*, *motuum exquisita mollities. Alibi noster auctor διατεθρυμμένην βάδισιν et διακεκλασμένην conjungit.* *Hoeschelius.*

καὶ βαδίσεως ἐπιτήδευσις,[12] καὶ φωνῆς διάκλασις,[13] καὶ
ὀφθαλμῶν ὑπογραφαὶ,[14] καὶ παρειῶν ἐπιτρίμματα,[15] καὶ
πλεγμάτων σύνθεσις,[16] καὶ τριχῶν βαφαὶ, καὶ ἱματίων πο-
λυτέλεια, καὶ χρυσίων ποικιλία, καὶ λίθων κάλλος, καὶ μύ-
ρων εὐοδμία, καὶ τἄλλα πάντα,[17] ἃ τὸ γυναικεῖον ἐπιτη-
δεύει γένος, ἱκανὰ θορυβῆσαι ψυχὴν, ἣν μὴ πολλῇ τῇ τῆς
σωφροσύνης αὐστηρότητι ἀπεσκληκυῖα[18] τύχῃ. Ἀλλὰ τὸ μὲν 508
ὑπὸ τούτων ταράττεσθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ διὰ
τῶν τούτοις ἐναντίων δύνασθαι βάλλειν τὸν διάβολον καὶ κα-

12) *βαδίσεως ἐπιτήδευσις. incessus affectatio.*

13) *φωνῆς διάκλασις, eine lispelende gebrochne Stimme* vertit *Cramerus.* Non admodum dissimilis nostro loco est locus Chrysost. T. VII, p. 422 E. *Καὶ γὰρ καὶ ῥήματα αἰσχρὰ αὐτόθι, καὶ σχήματα καταγέλαστα, καὶ κουρὰ τοιαύτη, καὶ βάδισις ὁμοία καὶ στολὴ καὶ φωνὴ, καὶ μελῶν διάκλασις, καὶ ὀφθαλμῶν ἐκστροφαί.* Cf. T. VI, p. 275 A. *ἀλλὰ καὶ τοῦ θεάτρου λυθέντος, ἀπελθούσης αὐτῆς, τὸ εἴδωλον ἐκείνης ἐναπόκειταί σου τῇ ψυχῇ, τὰ ῥήματα, τὰ σχήματα, τὰ βλέμματα, ἡ βάδισις, ὁ ῥυθμὸς, ἡ διάκρισις* etc. Pro ultimo hoc vocabulo alii malunt *διάκλασις. L.*

14) *ὑπογραφαὶ — ἐπιτρίμματα.* Sic Homil. in Eutrop. *τὰ ἐπιτρίμματα καὶ τὰς ἐπιγραφὰς* (fort. *ὑπογραφὰς*) *ἐκμάξασαν* (*ὄψιν.*) verbum *ὑπογραφὴ*, §. 599. [Veteres scilicet palpebrarum inferiorem partem solebant fucare stibio femina (Spiessglas) vim adstringendi et contrahendi habente, quo fiebat, ut oculi esse viderentur majores et ampliores, qui erant in partibus venustatis. Cf. Plin. Hist. Nat. XXXIII, 6. Dioscor. V, 99. *D'Orville* ad Charit. p. 53 et *Fischer.* in *Commentar.* in Xenoph. Cyrop. I, 3, 2., qui locus Xenophontis est hac in re classicus. *L.*]

15) *ἐπιτρίμματα*, vid. locus Xenoph. statim ante laudatus. Quomodo fucare solebant veteres, describit Plin. Hist. Nat. XXXII, 20. cf. *Bodaeus* ad Theophr. Hist. Plant. VII, 9. *L.*

16) *σύνθεσις.* Editi, *συνθέσεις.* Etiam Latini *synthesin* varie appellant. [Cf. 1. Timoth. II, 9. Haec *πλέγματα*, h. e. *cincinni, insinuati multiplices in orbes crines*, vocabantur *κόρυβος*, ubi ea gerebantur a mulieribus, ubi contra virgines iis utebantur, dicebantur *σκόρπιος.* vid. Intpp. ad 1. Petr. III, 3. *L.*]

17) *τἄλλα πάντα.* Multum illo tempore mulieres Christianas amasse ornatum, easque luxuriae deditas fuisse, videmus ex verbis Chrysostomi, quibus explicat illum locum Paulinum 1. Tim. II, 9. Liceat verba illa orationis affluentia insignia huc transscribere. „*Τί λέγεις; προσέρχῃ δεομένη τοῦ θεοῦ, καὶ περιέκεισαι χρυσία καὶ ἐμπλέγματα; μὴ γὰρ χορεῦσαι ἦλθες; μὴ γὰρ γάμων μεθέξουσα; μὴ γὰρ εἰς πομπὴν παρεγένου; ἐκεῖ τὰ χρυσία, ἐκεῖ τὰ ἐμπλέγματα, ἐκεῖ τὰ πολυτελῆ ἱμάτια ἔχει καιρόν. νῦν δὲ οὐδενὸς χρεία τούτων. — πῶς δύνασαι στενάξαι; πῶς δύνασαι δακρῦσαι; πῶς μετὰ ἐκτενείας εὔξασθαι, τοιοῦτον σχῆμα περικειμένη.*“ *L.*

18) *ἀπεσκληκυῖα. Hesychius, ἀπεσκληκὼς, ἀναισθήτως ἔχων. ἀποσκλαῖοι, ἀποξηραίνοι; ἀποθάνοι.* nam *σκέλλω*, exsicco: *σκελετὸς*, cadaver aridum. [Vid. *Heinichen.* in Ind. Euseb. T. III, p. 506. *L.*]

τατοξεύειν τὰς τῶν ἀνθρώπων ψυχὰς, τοῦτό ἐστι τὸ πολλῆς ἐκπλήξεως καὶ ἀπορίας μεστόν.

III. Ἤδη γάρ τινες ταῦτα ἐκφυγόντες τὰ θήρατρα, τοῖς πολὺ τούτων ἀφεστηκόσιν ἑάλωσαν. καὶ γὰρ καὶ ἠμελημένη ὄψις, καὶ αὐχμῶσα κόμη, [1] καὶ ῥυπῶσα στολὴ, καὶ σχῆμα ἀνεπίπλαστον, καὶ ἦθος ἁπλοῦν, καὶ ῥῆμα ἀφελὲς, καὶ βάδισις ἀνεπιτήδευτος, καὶ ἀσχημάτιστος φωνὴ, καὶ τὸ πενίᾳ συζῆν, καὶ τὸ καταφρονεῖσθαι, καὶ τὸ ἀπροστάτευτον, καὶ ἡ μόνωσις, πρῶτον μὲν εἰς ἔλεον τὸν ὁρῶντα, ἀπ' ἐκείνου [2] δὲ εἰς τὸν ἔσχατον ἤγαγεν ὄλεθρον. καὶ πολλοὶ τὰ πρότερα ἐκφυγόντες δίκτυα, τὰ διὰ τῶν χρυσίων, καὶ τῶν μύρων, καὶ τῶν ἱματίων, καὶ τῶν λοιπῶν ὧν εἶπον συγκείμενα τούτοις τοῖς τοσοῦτον αὐτῶν ἀφεστηκόσιν εὐκόλως ἐνέπεσαν καὶ ἀπώ-
509 λοντο. Ὅτ' ἂν οὖν καὶ διὰ πενίας καὶ διὰ πλούτου, καὶ διὰ καλλωπισμοῦ καὶ σχήματος εἰκῆ κειμένου, καὶ διὰ τρόπων τῶν τε ἐπιτηδευτῶν καὶ τῶν ἀπλάστων, καὶ διὰ πάντων ἁπλῶς, [3] ὧν ἀπηριθμησάμην, ὁ πόλεμος ἀναῤῥιπίζηται [4] τῇ τοῦ θεωμένου ψυχῇ, καὶ τὰ μηχανήματα αὐτὸν περιστοιχίζῃ πανταχόθεν· πόθεν ἀναπνεῦσαι [5] δυνήσεται, τοσούτων κύκλῳ περικειμένων παγῶν; ποίαν κατάδυσιν εὑρεῖν, οὐ λέγω πρὸς τὸ

---

1) αὐχμῶσα κόμη, *squalida coma*. Bengelius vertit: *horridus capillus*. Male. Cf. Ps. VI, 8. *Fischeri Clav. Verss. Graec. V. T.* p. 31. Theophr. Charact. XXVI, 3. Participium αὐχμῶσα formatur a verbo inusitato αὐχμάω. Vid. *Passow* in Lex. *L.*

2) ἀπ' ἐκείνου. Sapiunt haec intimam affectuum notitiam.

3) ἁπλῶς. Iterum Hesychius: ἁπλῶς, συντόμως, καθάπαξ. De alia notione adverbii Chrysostomo valde frequentis vid. §. 110. 207. 246 not. [ἁπλῶς non est *simul*, quod vult *Bengelius*, sed quod nos dicimus, *kurz und gut*. vid. *Passow* in Lex. s. h. v. *L.*]

4) ὁ πόλεμος ἀναῤῥιπίζηται, *bellum accendatur, moveatur*. ῥιπὶς est flabellum. Aristoph. Acharn. v. 888. Inde apud Gregor. Nazianz. p. 135. ἄνεμον ταῖς ῥιπίσι σοφίζεσθαι, flabellis ventum imitari, excitare. Ἀνεγείρειν et ῥιπίζειν jungit Aristoph. Ran. v. 363. πρὸς ἀνέμων ῥιπίζεται τὸ ὕδωρ. Philo p. 744 A. ῥιπίζεσθαι ταῖς ἐλπίσιν. Cf. Alciphr. p. 380. ed. *Bergler*. Πόλεμον ἀναῤῥιπίζειν dicit etiam Philo pag. 73 B. Cf. Zosim. p. 365. *L.*

5) ἀναπνεῦσαι. Aptius huic loco, περὶ παγῶν, verbum ἀνανεῦσαι, *suspicere*: quo sensu *Xiphilinus*, Κόμμοδος ἀπὸ τῶν ἐπιθυμιῶν καὶ παιδιῶν ἀνανεύων ἐφόνα. [Non sine acumine conjecit Bengelius ἀνανεῦσαι, quod sane melius quadrare videtur in nostrum locum. In omnibus vero libris est ἀναπνεῦσαι, quod habet sane etiam, quo defendi possit. *Quomodo poterit respirare, qui tantis se cinctum tendiculis conspiciat?* Non omnia ad vivum in ejusmodi scriptis sunt resecanda unguem. *L.*]

μὴ κατὰ κράτος ἁλῶναι· τοῦτο μὲν γὰρ οὐ πάνυ χαλεπόν,
ἀλλὰ καὶ πρὸς τὸ ἀτάραχον τῶν μιαρῶν λογισμῶν τὴν ἑαυ-
τοῦ φυλάξαι ψυχήν; [6]) Καὶ παρίημι τὰς τιμάς, τὰς τῶν μυ- 510
ρίων αἰτίας κακῶν. αἱ μὲν γὰρ παρὰ τῶν γυναικῶν γινόμεναι, 511
τῷ τῆς σωφροσύνης λυμαίνονται τόνῳ, [7]) καὶ καταβάλλουσι
δὲ πολλάκις, ὅτ᾽ ἄν τις μὴ διαπαντὸς ἐγρηγορεῖν εἰδῇ πρὸς
τὰς τοιαύτας ἐπιβουλάς. Τὰς δὲ παρὰ τῶν ἀνδρῶν ἢν μὴ 512
μετὰ πολλῆς τις δέξηται τῆς μεγαλοψυχίας, δύο [8]) ἐναντίοις
ἁλίσκεται πάθεσι, τῇ τε τῆς θωπείας δουλοπρεπείᾳ, καὶ τῇ
τῆς ἀλαζονείας ἀνοίᾳ· τοῖς μὲν θεραπεύουσιν αὐτὸν ὑποκύ-
πτειν ἀναγκαζόμενος, διὰ δὲ τὰς παρ᾽ ἐκείνων τιμὰς κατὰ
τῶν ἐλαττόνων ἐξογκούμενος, καὶ εἰς τὸ τῆς ἀπονοίας ὠθού-
μενος βάραθρον. Ταῦτα εἴρηται μὲν παρ᾽ ἡμῶν· ὅσην δὲ ἔχει 513
τὴν βλάβην, οὐκ ἄν τις ἄνευ τῆς πείρας μάθοι καλῶς. οὐ
γὰρ δὴ ταῦτα μόνον, ἀλλὰ καὶ τούτων πολλῷ πλείονα καὶ
σφαλερώτερα, τοῖς ἐν τῷ μέσῳ στρεφομένοις συμπίπτειν ἀνάγκη
γένοιτ᾽ ἄν. Ὁ δὲ τὴν ἔρημον στέργων πάντων μὲν ἔχει τὴν 514
ἀτέλειαν· εἰ δέ ποτε αὐτῷ καὶ λογισμὸς ἄτοπος [9]) ὑπογρά-
ψειέ τι τοιοῦτον, ἀλλ᾽ ἀσθενὴς ἡ φαντασία, [10]) καὶ ταχέως
σβεσθῆναι δυναμένη, διὰ τὸ μὴ προσκεῖσθαι ἔξωθεν τὴν ἀπὸ
τῆς θεωρίας ὕλην τῇ φλογί. Καὶ ὁ μὲν μοναχὸς ὑπὲρ ἑαυ- 515

---

6) *ἀλλὰ καὶ πρὸς τὸ ἀτάραχον — ψυχήν.* *Sed ut animum suum ab impuris cogitationibus imperturbatum praestet.* *μιαρὸς* Hesychius explicuit per *ἀκάθαρτος*. Suidas: *ἀμιαρία: ἀκαθαρσία.* *L.*

7) *λυμαίνονται τόνῳ.* Hoc verbum Medium pulchre Dativo jungi solet. [Hanc verbi *λυμαίνεσθαι* constructionem imprimis apud Atticos scriptores esse frequentem, testis est Scholiastes Aristophanis Nubb. v. 925. Saepissime tamen extat cum quarto casu conjunctum. Vid. supra p. 44. et *Kuinoel* ad Act. VIII, 3. *L.*]

8) *δύο.* Pro *δυσί.* Sic Hom. 5. c. Anomoeos, it. *Basil. M. Plutarch. Apollonius Al.* Elegans id fuisse, docet *Eustathius. Naevius* quoque, *duo verbis.* [Apud optimos adeo scriptores h. v. non declinatur. v. c. Thucyd. III, 89. *καὶ δύο νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν κατέαξεν.* De elegantia tamen sermo esse non potest. *L.*]

9) *λογισμὸς ἄτοπος.* *Hasselbach.* bene vertit: *ein ungehöriger Gedanke*, cogitatio non conveniens. Vid. *Orelli.* Not. Supplement. ad Nicol. Damasc. p. 12. et *Wahl.* Clav. N. T. T. I, p. 164. *Savil.* in margine *ἄτακτος*, quod miror placuisse *Hughesio.* *L.*

10) *ἡ φαντασία*, imago, quam nimirum ὑπογράφει ὁ λογισμὸς ἄτοπος. *Bengelius* male vertit: *imaginatio.* Verba sequentia: *διὰ τὸ μὴ — φλογὶ* magis ad sensum quam ad verbum reddidit *Ritter: Weil die Flamme von aussen durch den Blick keine Nahrung bekommt.* *L.*

τοῦ μόνου δέδοικεν· εἰ δὲ καὶ ἑτέρων φροντίζειν ἀναγκασθείη, ἀλλ' εὐαριθμήτων λίαν. εἰ δὲ καὶ πλείονες εἶεν, ἀλλὰ τῶν ἐν ταῖς ἐκκλησίαις ἐλάττους τε εἰσὶ, καὶ τὰς ὑπὲρ ἑαυτῶν φροντίδας πολλῷ κουφοτέρας παρέχουσι τῷ προστάτῃ, οὐ διὰ τὴν ὀλιγότητα μόνον, ἀλλ' ὅτι καὶ πάντες τῶν κοσμικῶν εἰσιν ἀπηλλαγμένοι πραγμάτων, καὶ οὔτε παῖδας, οὔτε γυναῖκα, οὔτε ἄλλό τι μεριμνᾷν ἔχουσι τοιοῦτο· τοῦτο δὲ αὐτοὺς λίαν τε εἶναι εὐπειθεῖς τοῖς ἡγουμένοις καὶ τὸ κοινὴν [11]) τὴν οἴκησιν ἔχειν ἐποίησεν, [12]) ὡς δύνασθαι αὐτῶν τὰ πταίσματα ἀκριβῶς συνορᾷν [13]) τε καὶ ἐπανορθοῦν, ὅπερ οὐ μικρὸν πρὸς ἀρετῆς [14]) ἐπίδοσιν ἐπιστασία διδασκάλου διηνεκής. [15])

516 IV. Τῶν δὲ ὑπὸ τῷ ἱερεῖ τεταγμένων τὸ πλέον βιωτικαῖς πεπέδηται φροντίσι, καὶ τοῦτο ἀργοτέρους πρὸς τὴν τῶν πνευματικῶν ἐργασίαν καθίστησιν. ὅθεν ἀνάγκη τῷ διδασκάλῳ σπείρειν καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν, ἵνα τῇ γοῦν συνεχείᾳ δυνηθῇ κρατηθῆναι παρὰ τοῖς ἀκούουσι τῆς διδασκαλίας ὁ λόγος. Καὶ γὰρ πλοῦτος ὑπέρογκος, καὶ δυναστείας μέγεθος, καὶ ῥᾳθυμία ἀπὸ τρυφῆς προσγινομένη, καὶ πολλὰ ἕτερα πρὸς τούτοις συμπνίγει τὰ καταβαλλόμενα σπέρματα, πολλάκις δὲ ἡ τῶν ἀκανθῶν πυκνότης οὐδὲ μέχρι τῆς ἐπιφανείας [1]) ἀφίησι τὸ σπειρόμενον πεσεῖν· ἤδη δὲ καὶ θλίψεως

---

11) *καὶ τὸ κοινήν.* Τὸ, *ἐπιτατικόν*, uti §. 315. not. Erasmus omittit.

12) *ἐποίησεν.* Τοῦτο, subjectum: *ἐποίησε*, praedicatum, a quo pendet, *εἶναι*, et *ἔχειν*. sic, *ἐποίησε ῥεῦσαι. διαφέρειν ποιοῦσιν. ἐξοιδεῖν ποιεῖ.* §. 76. 280. 583. *ἡ φρόνησις τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν.* Arist. 6. Nic. 13.

13) *συνορᾷν.* Propter obedientiam illam.

14) *ἀρετῆς.* Exemplum fructuosissimi apud Origenem contubernii sui commemorat *Gregorius Thaumaturgus* in Panegyrico paullo interjectis citato.

15) *ἐπιστασία διδασκάλου διηνεκής.* Plane tria haec videntur verba glossa fuisse *τοῦ ὅπερ*, e margine in textum illata. Vide quanto planior sit, his omissis, interpretatio Latina: nam in hac plusculum potestatis fuit nobis, quam in sermonem Graecum. Firmat conjecturam vet. int. *quod certe plurimum ad virtutem promovet: ID EST cohabitatio continua doctoris.* [Ego quoque haec verba habeo glossema. Certe, his tribus vocabulis expunctis, nemo quidquam desiderabit. Leguntur tamen in omnibus libris editis. *L.*]

1) *οὐδὲ μέχρι τῆς ἐπιφανείας.* Adagii simile. *ἐπιφάνεια*, hic, *superficies*, pars summa apparens: in N. T. *apparitio.* Media notione exquisite ponit *Basilius Sel.* Or. 34. *πυκναῖς τοίνυν ἐξ ἀρχῆς ἐπιφανείαις κεθυλημένος* (malim, *καθυλημένος*) *Θεὸς τοὺς ἀνθρώπους θεογνωσίαν ἐπαίδευσεν. ὤφθη τῷ ἀβραάμ, κτλ.* multis

ὑπερβολή, καὶ πενίας ἀνάγκη, καὶ ἐπήρειαι συνεχεῖς, καὶ ἄλλα
τοιαῦτα ταῖς προτέροις [2]) ἐναντία, ἀπάγει τῆς περὶ τὰ θεῖα
σπουδῆς. τῶν δὲ ἁμαρτημάτων οὐδὲ τὸ πολλοστὸν αὐτοῖς μέ-
ρος [3]) δυνατὸν γενέσθαι καταφανές· πῶς γάρ; ὧν τοὺς πλείο-
νας οὐδὲ ἐκ προσόψεως ἴσασι. Καὶ τὰ μὲν πρὸς τὸν λαὸν 517
αὐτῷ τοσαύτην ἔχει τὴν ἀμηχανίαν· εἰ δέ τις τὰ πρὸς τὸν
Θεὸν ἐξετάσειεν, οὐδὲν ὄντα εὑρήσει ταῦτα, [4]) οὕτω μείζονος
καὶ ἀκριβεστέρας ἐκεῖνα δεῖται τῆς σπουδῆς. Τὸν γὰρ ὑπὲρ 518
ὅλης πόλεως, καὶ τί λέγω, πόλεως; πάσης μὲν οὖν τῆς οἰ-
κουμένης πρεσβεύοντα, καὶ δεόμενον ταῖς ἁπάντων ἁμαρτίαις [5])
ἵλεω γενέσθαι τὸν Θεόν, οὐ τῶν ζώντων μόνον, ἀλλὰ καὶ τῶν
ἀπελθόντων, [6]) ὁποῖόν τινα εἶναι χρή; ἐγὼ μὲν γὰρ καὶ τὴν
Μωσέως καὶ τὴν Ἠλιοῦ παῤῥησίαν οὐδέπω πρὸς τὴν τοσαύ-
την ἱκετηρίαν ἀρκεῖν ἡγοῦμαι. Καὶ γὰρ ὥσπερ τὸν ἅπαντα
κόσμον πεπιστευμένος, καὶ αὐτὸς τῶν ἁπάντων πατήρ, οὕτω
πρόσεισι τῷ Θεῷ, δεόμενος [7]) τοὺς ἁπανταχοῦ πολέμους σβε-

---

inde ab Adamo apparentiis quasi materiali sensibusque vestitis habitu Deus homines sui cognitione instruxit. [Vid. *Passow.* in Lex. s. h. v. Quod ad illam notionem attinet, quam habet hoc vocabulum in loco illo ex Basilio Seleuc. a *Bengelio* excitato, vid. *Vales.* ad Euseb. H. E. Libr. II, c. 6. et *Schleusner.* in Lex. in LXX. Intpp. s. h. v. *L.*]

2) *τοῖς προτέροις.* sc. πλούτῳ ὑπερόγκῳ, et δυναστείας μεγέθει. κτλ. *L.*

3) *τὸ πολλοστὸν μέρος*, *ne multesima quidem pars.* Xenoph. Memorr. III, 1, 6. τὰ τακτικὰ πολλοστὸν μέρος ἐστὶ στρατηγίας. Cf. IV, 6, 7. et *Passow.* in Lex. s. h. v. *L.*

4) *ταῦτα*, sc. τὰ πρὸς τὸν λαόν. *L.*

5) *ἁμαρτίαις.* Mortuorum peccata superstites, et sua et illorum causa, deprecari docentur; sed dispari auctoritate, alterum Scriptura confirmat, Dan. 9, 16. alterum Chrysostomus (non diffitemur) aliique ex eo tempore patres. Hom. 32. in Matth. *τί μετὰ ταῦτα πένητας καλεῖς, καὶ παρακαλεῖς ἱερέας εὔξασθαι; ἵνα εἰς ἀνάπαυσιν ἀπέλθῃ ὁ τετελευτηκώς, ἵνα ἵλεω σχῇ τὸν δικαστήν.* Liquidissime Hom. 3. in Ep. ad Philipp. mortuis dicit *παραμυθίαν τινά*, sed non *μετάνοιαν* impetrari.

6) *ἀπελθόντων.* Frequens patribus, Chrysostomo praesertim, euphemismus, isque spei Christianorum consentaneus, ut *mortui*, praesertim *non pridem mortui*, dicantur *ἀπελθόντες.* Vid. *Dausq.* ad Bas. Sel. or. X. et *Jo. Vorst.* Diss. sacr. l. 3. p. 92. ubi eximium hujus notionis observatae usum dat. [Preces pro mortuis, non vero sacrificia, quae serius invaluerunt, tunc temporis jam in usu erant. Vid. Epiph. Anacephal. T. II, p. 148. ed. Petav. Col. et *Schroeckh.* *christl. Kirchengesch.* T. VI, p. 230 sq. coll. *Ritter.* in notis ad nostrum locum. *L.*]

7) *δεόμενος.* Sir. 39, 7. *περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεηθήσεται,* *Vae populo, qui in doctorem incidit, per preces pro po-*

σβεσθῆναι, λυθῆναι τὰς ταραχάς· εἰρήνην, εὐετηρίαν, πάντων τῶν ἑκάστῳ κακῶν ἐπικειμένων, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ταχεῖαν αὐτῶν ἀπαλλαγήν. δεῖ δὲ πάντων αὐτὸν, ὑπὲρ ὧν δεῖται, τοσοῦτον διαφέρειν ἐν ἅπασιν, ὅσον τὸν προεστῶτα τῶν
519 προστατευομένων εἰκός. Ὅταν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον καλῇ,[8] καὶ τὴν φρικωδεστάτην ἐπιτελῇ θυσίαν[9] καὶ τοῦ

---

pulo non demonstrantem, quam is sibi curae cordique sit. vae doctori, non unice studenti imitari Magistrum suum, qui toto die concionatus, solus montem petiit, ut oraret. Wecker der Lehrer p. 171.

8) καλῇ. Recentiores, invocaverit pervetus ille interpres, cum vero etiam Spiritum Sanctum advocaverit uno demum verbo mens veterum exprimitur. *Fulgentius*, nervose: *Sancti Spiritus, ad sanctificandum totius ecclesiae sacrificium, postulatur adventus.* l. 2. ad Mon. p. 338. ed. Lucii. *Juxta veteres in eucharistiae consecratione non solus Spiritus Sanctus invocatur, cum preces liturgicae directae fuerint ad totam Trinitatem: eamque maxime ob causam oratio haec ἐπίκλησις Πνεύματος ἁγίου appellatur, quia ea Deus invocatur, ut mittat Spiritum S. super dona proposita, eadem cum corpore et sanguine Domini divina potentia sua uniturum, quae operativa actio κατ' οἰκονομίαν Spiritui S. a veteribus adscribitur.* Haec dilucide vir celeb. *C. M. Pfaffius*: qui in Syntagmate et Primitiis Tub. non solum de Oblatione, sed etiam de Consecratione eucharistiae, deque hac ipsa ἐπικλήσει, singulari apparatu ac studio dissertavit; et Synt. p. 438 sq. etiam de Chrysostomo et praesenti ejus loco egit. Ex Liturgia delibavimus aliquid supra, p. 66, 27. ex eadem adde, quae sequuntur. *Καὶ δεόμεθα καὶ ἱκετεύομεν, κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα. ἀμήν. [καὶ ἀνιστάμενος (ὁ ἱερεὺς) σφραγίζει τὰ ἅγια δῶρα·] καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου. ἀμήν. [καὶ ἐν τῷ ποτηρίῳ λέγει·] τὰ δὲ ἐν ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ· [ὁ ἱερεὺς εὔχεται·] ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου πνεύματος κτλ.* Ed. Morel. f. 639 A. B. *Λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἄρτου μερίδα βάλλει εἰς τὸ ποτήριον, λέγων· Πλήρωμα Πνεύματος ἁγίου πάντοτε νῦν καὶ ἀεὶ κτλ.* f. 543. A. B.

9) θυσίαν. Non stabilitur hic sacrificium missaticum: Vid. p. 61, 12. Si Veteres illi in hanc vitam redirent, et viderent, quam multa, quae ipsi scripta reliquerunt, ii, qui antiquitate tantopere nituntur, non ex veteri illorum, sed ex novo suo sensu interpretentur; quid eos tandem dicturos putamus? [Quod ad sententiam Chrysostomi de sacra coena attinet, vid. Homil. in Matth. 51. et 83. Homil. 45. et 46. in Johann. Homil. 24. in epist. ad Corinth. Cf. *Wegscheider. Institution. Theologiae Christian.* §. 174. *Kapp. Diss. de Joh. Chrysostomi epist. ad Caesarium contra transsubstant. teste.* — *Du Pin* in *Bibliotheca Nova Auctorum Ecclesiasticorum.* T. III, p. 74 sq. haec hanc in rem animadvertit: „De nullo mysterio saepius aut magnificentius Chrysostomus loquitur, quam de Mysterio Eucharistiae. Multis in locis docet, corpus et sanguinem Christi altaribus imposita esse. Jesum Christum corpus et sanguinem suum nobis reliquisse; panem et vinum fieri corpus et sangui-

κοινοῦ πάντων συνεχῶς ἐφάπτηται Δεσπότου, ποῦ τάξομεν αὐτὸν, εἰπέ μοι; πόσην δὲ αὐτὸν ἀπαιτήσομεν καθαρότητα καὶ πόσην εὐλάβειαν; ἐννόησον γὰρ, ὁποίας [10]) τὰς ταῦτα διακονουμένας χεῖρας εἶναι χρὴ, ὁποίαν τὴν γλῶτταν τὴν ἐκεῖνα προχέουσαν τὰ ῥήματα, [11]) τίνος δὲ οὐ καθαρωτέραν καὶ ἁγιωτέραν τὴν τοσοῦτο [12]) πνεῦμα ὑποδεξομένην [13]) ψυχήν; [14])
Τότε καὶ ἄγγελοι παρεστήκασι [15]) τῷ ἱερεῖ, καὶ οὐρανίων δυ- 520

---

nem Christi; *stupendum illud miraculum*, et maxima quidem miracula aequare; peragi illud vi verborum Christi; Jesum Christum in sacrificio offerri; dum celebratur illud mysterium; semetipsum Jesum Christum patri suo offerre, idque sacrificium sine ulla sanguinis effusione peragi; illi sacrificio interesse angelos et archangelos; Ignem coelestem res oblatas consumere, easque in corpus et sanguinem Christi mutare; non accedendum ad sacram illam mensam, nisi cum timore ac tremore.“ Cf. *Suicer.* Thes. Eccles. s. v. *θυσία*. Similiter vocatur Sacra coena a Chrysostomo *τὸ ποτήριον τὸ φρικτόν*. T. II, p. 226. *θυσία φρικτὴ καὶ μυστική*, T. VI, p. 100; *μυστήρια φρικτὰ καὶ ἀθάνατα*, T. X, p. 401. Cf. *Matthaei*. l. l. Homil. III, not. 249. T. II, p. 67. *L.*]

10) *ὁποίας — ψυχήν.* Haec tria requisita, *χιασμῷ* trigemino retrogrado (qualis plane etiam exstat §. 330 med.) posita, respondent triplici functioni ineunte hoc tmemate descriptae.

11) *προχέουσαν τὰ ῥήματα.* Partim alta, partim submissa voce; ut Liturgia docet. Innuit *τὴν ἱκετηρίαν πολλὴν*, §. 179. preces illas concatenatas, ad consecrationem compositas, quibus et verba institutionis S. Coenae et *ἐπίκλησις* Spiritus Sancti intexta erat.

12) *τοσοῦτο*, forte *τοιοῦτο*. Int. vet. *talis*.

13) *ὑποδεξομένην.* Al. *ὑποδεξαμένην*. minus apte.

14) *ψυχήν.* Quod omnium animis contingit, id hic sacerdotis potissimum animae adscribit; qui et pro omnibus Spiritum S. vocabat, et primus de Dominica mensa edebat et bibebat. Liturgia: *τότε* (*post consecrationem*) *ὁ ἱερεὺς μεταλαμβάνει*. f. 543 B. quo nomine sanctitas in sacerdote excellens hic requiritur. Illud praeterea observandum, quod primo sacerdos, post hunc dona, postremo per sacerdotem et per *τὴν θυσίαν* (§. 179.) populus, Spiritum S. et gratiam et Dominicum corpus sanguinemque suscipere dicitur. Nam in Liturgia sic orat sacerdos: *καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος, καὶ δι᾽ ἡμῶν παντὶ τῷ λαῷ*. f. 542 E. Adde fol. 536. et 539, quorum verba superius (p. 66.) et modo exhibuimus. Agnoverunt veteres, nil habere rationem sacramenti extra usum legitimum. *Οὐ πρῶτον ἅπτεται (ὁ ἱερεὺς) τῶν προκειμένων, ἕως ἂν ὑμῖν αὐτὸς ἐπεύξηται τὴν παρὰ τοῦ Κυρίου χάριν, καὶ ὑμεῖς ἐπιφθέγξησθε αὐτῷ, καὶ τῷ πνεύματί σου· διὰ τῆς ἀποκρίσεως αὐτῆς ἀναμιμνήσκοντες αὐτοὺς, ὅτι οὐδὲν αὐτὸς ὁ παρὼν πράττει, οὐδὲ ἀνθρωπίνης ἐστὶ φύσεως κατορθώματα τὰ προκείμενα δῶρα, ἀλλ᾽ ἡ τοῦ Πνεύματος χάρις παροῦσα καὶ ΠΑΣΙΝ ἐφιπταμένη τὴν μυστικὴν ἐκείνην κατασκευάζει θυσίαν.* κτλ. T. 5. Serm. 39. de S. Pentecoste.

15) *ἄγγελοι παρεστήκασι.* Fuit qui putaret, credulitate hic peccasse Chrysostomum. Eadem tamen ipse dicit Hom. 21. in Acta: *ἐν χερσὶν ἡ θυσία, καὶ πάντα πρόκειται ηὐτρεπισμένα· πάρ-*

νάμεων ἅπαν τὸ βῆμα [16]) καὶ ὁ περὶ τὸ θυσιαστήριον πλη-
521 ροῦται τόπος, [17]) εἰς τιμὴν τοῦ κειμένου. Καὶ τοῦτο ἱκανὸν
μὲν καὶ ἐξ αὐτῶν πεισθῆναι τῶν ἐπιτελουμένων τότε· ἐγὼ δὲ
καί τινος ἤκουσα διηγουμένου ποτὲ, ὅτι αὐτῷ τις πρεσβύτης,
θαυμαστὸς ἀνὴρ καὶ ἀποκαλύψεις ὁρᾷν εἰωθὼς, ἔλεγεν ὄψεως
ἠξιῶσθαι τοιαύτης, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἄφνω πλῆθος
ἀγγέλων ἰδεῖν, ὡς αὐτῷ δυνατὸν ἦν, στολὰς ἀναβεβλημένων
λαμπρὰς, καὶ τὸ θυσιαστήριον κυκλούντων, καὶ κάτω νευόν-
των, ὡς ἂν εἴ τις στρατιώτας παρόντος βασιλέως ἑστηκότας
522 ἴδοι. καὶ ἔγωγε πείθομαι. [18]) Καὶ ἕτερος δέ τις ἐμοὶ διηγή-
σατο, οὐ παρ᾽ ἑτέρου μαθὼν, ἀλλ᾽ αὐτὸς ἰδεῖν ἀξιωθεὶς καὶ
ἀκοῦσαι, ὅτι τοὺς μέλλοντας ἐνθένδε ἀπαίρειν, ἂν τύχωσι τῶν
μυστηρίων μετασχόντες ἐν καθαρᾷ συνειδήσει, ὅτ᾽ ἂν ἀποπνεῖν
μέλλωσι, δορυφοροῦντες αὐτοὺς, δι᾽ ἐκεῖνο τὸ ληφθὲν, ἀπά-
523 γουσιν ἐνθένδε ἄγγελοι. Σὺ δὲ οὐδέπω φρίττεις; εἰς οὕτως ἱε-

---

εισιν ἄγγελοι, ἀρχάγγελοι. Et hom. 24. in 1. ad Cor. μετὰ ταύτης ἀπελθόντες ἐκεῖ τῆς θυσίας, ἐν παῤῥησίᾳ πολλῇ τῶν ἱερῶν ἐπιβησόμεθα προθύρων, ὥσπερ τισὶν ὅπλοις χρυσοῖς περιπεφραγμένοι πάντοθεν. quae verba *C. Scriverius* prolixe approbavit Part. 3. Thesauri, homil. 7. quanquam Chrysostomum Germanum fefellit, quisquis ei persuasit, ipsi Chrysostomo apparitionem illam obtigisse. Ἐφόδιον, *viaticum* itineris, in mundo et ex mundo, appellatam a Patribus esse S. Coenam, inter eruditos constat. vide Casaubonum, Suicerum etc. [Prolixius suam de sacra coena opinionem exposuit Chrysostomus supra Libr. III, cap. 4. Eandem sententiam de angelis sacerdoti sacram coenam administranti adsistentibus fovit praeter Chrysostomum Gregorius Magnus ad finem libri: Dialogorum Libri IV. de vita et miraculis Patrum Italicorum. Cf. *Schroeckhii christl. Kirchengesch.* T. XVII, p. 335. Angelos altarium custodes commemorat etiam Epiphan. Haeres. XXV, cap. 3. Cf. *Schmidt Historia dogmatis de angelis tutelaribus.* In *Illgen's erster Denkschrift der historisch-theolog. Gesellschaft zu Leipzig.* p. 67. *L.*]

16) βῆμα. *Proprie* altare *denotat: sed frequenter sumitur, ut hic, pro* sacrario s. adyto sacro, *in quo exstructum erat* altare. *Hinc sacerdotes dicti* οἱ ἐντὸς τοῦ βήματος, *ut contra laici* οἱ ἐκτὸς τοῦ βήματος. *κτλ. Cant. ed. II.* βῆμα proprie *locus editus.* vet. int. *tribunal*, de quo verbo vid. *Du Fresne.* [Cf. praeterea *Le Moyne Varia Sacr.* T. II, p. 373. *Bevereg.* Annot. in Conc. I. Nic. Can. 11. §. 10. et quae docte monuit *Joh. Hughes.* ad Gregor. Nazianz. Apologet. p. 454. *L.*]

17) τόπος. Ichnographiam templorum veterum, quibus Christiani utebantur, habes in editione Eusebii H. E. a *Heinichenio* parata T. III, p. 235. — τοῦ κειμένου, in honorem ejus, qui altari impositus est, i. e. Christi. Supra Libr. III, c. 4. §. 177. legimus: ὅταν γὰρ ἴδῃς τὸν Κύριον τεθυμένον καὶ κείμενον κτλ. *L.*

18) πείθομαι. Ejusmodi historiolae nobis testimonium dare possunt de credulitate patrum ecclesiae et ipsius Chrysostomi. Pluribus hac de re egit *Jac. Basnage* Hist. Eccles. T. II, p. 985. *L.*

ρὰν τελετὴν τοιαύτην εἰσάγων ψυχήν; καὶ τὸν τὰ ῥυπαρὰ ἐνδεδυμένον ἱμάτια εἰς τὸ τῶν ἱερέων ἀναφέρων ἀξίωμα, ὃν καὶ τοῦ λοιποῦ [19]) τῶν δαιτυμόνων χοροῦ ἐξῶσεν ὁ Χριστός; Φωτὸς [20]) δίκην τὴν οἰκουμένην καταυγάζοντος λάμπειν δεῖ 524
τοῦ ἱερέως τὴν ψυχήν· ἡ δὲ ἡμετέρα τοσοῦτον ἔχει περικείμενον αὐτῇ σκότος ἐκ τῆς πονηρᾶς συνειδήσεως, [21]) ὡς ἀεὶ καταδύεσθαι καὶ μηδέποτε δύνασθαι μετὰ παῤῥησίας εἰς τὸν αὐτῆς ἀτενίσαι [22]) δεσπότην. Οἱ ἱερεῖς τῆς γῆς εἰσιν οἱ ἅλες· [23]) 525
τὴν δὲ ἡμετέραν ἄνοιαν καὶ τὴν ἐν ἅπασιν ἀπειρίαν τίς ἂν ἐνέγκοι ῥᾳδίως, πλὴν ὑμῶν τῶν καθ' ὑπερβολὴν ἡμᾶς ἀγαπᾶν εἰθισμένων; Οὐ γὰρ μόνον καθαρὸν οὕτως, ὡς τηλι- 526
καύτης ἠξιωμένον διακονίας, ἀλλὰ καὶ λίαν συνετὸν καὶ πολλῶν ἔμπειρον εἶναι δεῖ· [24]) καὶ πάντα μὲν εἰδέναι τὰ βιωτικὰ

---

19) *τοῦ λοιποῦ*. Ita **Gregorius Naz.** de se: *τῆς ἐκκλησίας ἄξιον εἶναι χρὴ πρῶτον, εἶτα τοῦ βήματος τούτου, εἶτα τῆς προεδρίας.* Ap. ed. Thirlb. p. 424. 454. [Respicit Chrysostomus h. l. ad parabolam Christi, quae legitur Matth. XXII, 1—13. *L.*]

20) *φωτός.* Ambrosius, *Ecce ad quae mala volvitur deificus ordo; ecce ad quae probra sunt prolapsi sacerdotes, qui audire meruerunt a Judice mundi:* Vos estis lux hujus mundi. *Ecce quibus subjiciuntur gentes, quibus a Domino dictum est:* Vos estis sal terrae. de Dign. sac. c. 6. Locum Matth. V. 13, 14. Chrysostomus etiam Hom. 15. in Matth. ad apostolos refert, nec tamen non ad omnes fideles. *τὸν πιστὸν φωστῆρα δεῖ εἶναι τοῦ κόσμου καὶ ἅλας.* conf. *Gataker.* Posth. c. 43. ubi copiosissime de Sale, et Compend. medit. *L. de Ponte* ed. Mont. p. 251.

21) *συνειδήσεως.* Ambrosius: *Ne habeatur in ecclesia cathedra sublimior; et conscientia sacerdotis reperiatur humilior.* lib. cit. c. 3.

22) *ἀτενίσαι.* Ps. 123.

23) *οἱ ἱερεῖς τῆς γῆς εἰσιν οἱ ἅλες.* Similiter **Lutherus** in oratt. sacris, quas de oratione montana habuit, dicit ad v. 13. c. V. Matth. „*Das ist ja ein herrlich Amt und eine grosse treffliche Ehre, dass sie Gott sein Salz heisset, und dazu setzet, dass sie sollen salzen alles, was auf Erden ist. Es gehöret aber dazu ein solcher Mann, der da bereit sei, wie er bisher gelehret hat, arm, elend, dürftig, sanftmüthig u. s. w. zu sein, und allerlei Verfolgung, Schmach und Lästerung zu leiden. — — Unser Trotz aber ist, wenn es übel gehet, Welt und Teufel uns ansiehet, und so böse sind als sie wollen, dass er zu uns sagt: Ihr seid das Salz der Erden. Wo das Wort ins Herz leuchtet, dass sichs kann darauf verlassen, und ungezweifelt rühmen, dass er Gottes Salz sei; so lass zürnen und böse sein, wer nicht lachen will.*“ etc. Cf. **Junii** *compendium Seckendorfianum.* T. III, p. 77. *L.*

24) *εἶναι δεῖ.* Summa §. 504—530. *Gregorius M.* Parte 2. Pastoral. c. 7. hoc docet, *ut sit rector internorum curam in exteriorum occupatione non minuens: exteriorum providentiam in interio-*

τῶν ἐν μέσῳ στρεφομένων οὐχ ἧττον, πάντων δὲ ἀπηλλάχθαι
527 μᾶλλον τῶν τὰ ὄρη κατειληφότων μοναχῶν. Ἐπειδὴ γὰρ ἀν-
δράσιν αὐτὸν ὁμιλεῖν ἀνάγκη καὶ γυναῖκας ἔχουσι, καὶ παῖδας
τρέφουσι, καὶ θεράποντας κεκτημένοις, καὶ πλοῦτον περιβε-
βλημένοις πολὺν, καὶ δημόσια πράττουσι, καὶ ἐν δυναστείαις
οὖσι, ποικίλον [25]) αὐτὸν εἶναι δεῖ. ποικίλον δὲ λέγω, οὐχ
528 ὕπουλον; [26]) οὐδὲ κόλακα καὶ ὑποκριτὴν, ἀλλὰ πολλῆς μὲν
ἐλευθερίας καὶ παῤῥησίας ἀνάμεστον, εἰδότα δὲ καὶ συγκατιέ-

---

rum sollicitudine non relinquens. et Partis 1. caput 4. hanc summam habet: *Quod plerumque occupatio regiminis, soliditatem dissipat mentis.*

25) *ποικίλον.* *Omnibus omnia.* 1. Cor. 9, 22. Quod ipsum idem *Gregorius* in *Cura Pastorali* egit, ut diversam cum diversis agendi rationem ostenderet, ut ex ejus synopsi patet. *Aliter admonendi sunt viri, atque aliter foeminae: aliter juvenes, aliter senes: inopes, locupletes: laeti, tristes: subditi, praelati: servi, domini: papientes, hebetes: impudentes, verecundi: proterui, pusillanimes: impatientes, patientes: benevoli, invidi: simplices, impii: incolumes; aegri. aliter, qui flagella metuunt et ideo innocenter vivunt; atque aliter, qui sic in iniquitatibus duruerunt, ut neque per flagella corrigantur. aliter nimis taciti, aliter multiloquio vacantes: pigri, praecipites: mansueti, iracundi: humiles, elati: pertinaces, inconstantes: gulae dediti, abstinentes: qui jam sua misericorditer tribuunt; qui et aliena rapere contendunt: qui nec aliena appetunt nec sua largiuntur; qui et ea quae habent tribuunt et tamen aliena rapere non desistunt: pacati, discordes: seminantes jurgia, pacifici: qui sacrae legis verba non intelligunt recte; qui recte quidem intelligunt, sed haec humiliter non loquuntur: qui cum digne praedicare valeant, prae nimia humilitate formidant; quos a praedicatione imperfectio vel aetas prohibet, et tamen praecipitatio impellit: qui in hoc, quod temporaliter appetunt, prosperantur; qui ea quidem, quae mundi sunt, concupiscunt, sed tamen adversitatis labore fatigantur: conjugiis obligati, conjugii nexibus liberi: peccatorum carnis conscii, ignari: qui peccata deplorant operum, qui cogitationum: qui admissa deplangunt nec tamen deserunt; qui deserunt nec tamen plangunt: qui illicita quae faciunt etiam laudant; qui accusant prava nec tamen devitant: qui repentina concupiscentia superantur; qui in culpa ex consilio ligantur: qui licet minima, tamen illicita faciunt; qui se a pravis* (leg. *parvis*) *custodiunt, sed aliquando in gravioribus demerguntur: qui bona nec inchoant; qui inchoata minime consummant. aliter admonendi sunt, qui mala occulte agunt et bona publice; atque aliter, qui bona quae faciunt abscondunt, et tamen quibusdam factis publice male de se opinari permittunt.* Utilis enumeratio.

26) *ὕπουλον.* *Οὐλὴ, cicatrix.* translatio explicari potest ex §. 49. [Sic legitur apud Platon. Gorg. 36. *ψυχὴ ὕπουλος, animus subdolus.* et Marc. Aurel. *πρὸς ἑαυτ.* Libr. III, c. 8. dicit: *οὐδὲν ἂν ἐν τῇ διανοίᾳ τοῦ κεκολασμένου καὶ ἐκκεκαθαρμένου πυῶδες, οὐδὲ μὴν μεμολυσμένον, οὐδὲ ὕπουλον εὕροις.* Statim post *Ducaeus* legit *οὐ κόλακα, οὐχ ὑποκριτήν.* *Savilio* magis arrisit ea, quae in textu est, lectio. *L.*]

ναι 27) χρησίμως, ὅτ᾽ ἂν ἡ τῶν πραγμάτων ὑπόθεσις τοῦτο
ἀπαιτῇ, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν. Οὐ γάρ ἐστιν 28) 529
ἑνὶ τρόπῳ χρῆσθαι τοῖς ἀρχομένοις ἅπασιν, ἐπειδὴ μηδὲ ἰα-
τρῶν παισὶν ἑνὶ νόμῳ τοῖς κάμνουσι πᾶσι προσφέρεσθαι κα-
λὸν, μηδὲ κυβερνήτῃ μίαν ὁδὸν εἰδέναι τῆς πρὸς τὰ πνεύματα
μάχης. καὶ γὰρ καὶ ταύτην τὴν ναῦν συνεχεῖς περιστοιχίζονται
χειμῶνες· οἱ δὲ χειμῶνες οὗτοι οὐκ ἔξωθεν προσβάλλουσι μό-
νον, ἀλλὰ καὶ ἔνδοθεν τίκτονται. καὶ πολλῆς χρεία καὶ συγκα-
ταβάσεως καὶ ἀκριβείας. πάντα δὲ ταῦτα τὰ διάφορα εἰς ἓν 530
τέλος ὁρᾷ, τοῦ Θεοῦ τὴν δόξαν, τῆς ἐκκλησίας τὴν οἰκοδομήν.

V. Μέγας ὁ τῶν μοναχῶν ἀγὼν, καὶ πολὺς ὁ μόχθος· 531
ἀλλ᾽ εἴ τις τῇ καλῶς διοικουμένῃ ἱερωσύνῃ τοὺς ἐκεῖθεν ἱδρῶ-
τας παραβάλοι, τοσοῦτον εὑρήσει τὸ διάφορον 1) ὅσον ἰδιώ-
του καὶ βασιλέως τὸ μέσον. Ἐκεῖ μὲν γὰρ εἰ καὶ πολὺς ὁ 532
πόνος, ἀλλὰ κοινὸν τῆς ψυχῆς καὶ τοῦ σώματος τὸ ἀγώνι-
σμα· 2) μᾶλλον δὲ τὸ πλέον τῇ τοῦ σώματος κατορθοῦ-
ται κατασκευῇ. κἂν μὴ τοῦτο ἰσχυρὸν ᾖ, μένει καθ᾽ ἑαυ-
τὴν ἡ προθυμία, οὐκ ἔχουσα εἰς ἔργον ἐξελθεῖν· καὶ γὰρ

---

27) *συγκατιέναι.* *Pauli* verbum est, *συναπάγεσθαι*· *Gregorii Nazianzeni*, *συγκατέρχεσθαι.* *Antoninus* imper. et philos. patri se suo debere dixit [*πρὸς ἑαυτὸν* Libr. I, c. 16. *L.*] *κοινονοημοσύνην*, quo vide quae de *Sensu communi* notavit *Gatakerus*. Mox §. 529. *συγκατάβασις* dicitur. de *συγκαταβάσει* divina, humana, satanica, ex patribus, maxime ex Chrysostomo, agit *Rittershus.* l. 1. Sacr. lect. c. 14. et *Suicer.* Obs. sacr. p. 130 ss. quae bene huc applicueris. [Euseb. Demonstr. Evangel. I, 8. *συγκατιόντες τῇ τῶν πλειόνων ἀσθενείᾳ*, i. e. se ad plurium imbecillitatem demittentes. Cf. *Heinichen.* ad Euseb. H. E. VII, 24. not. 18. T. II, p. 373. — *συγκατάβασις*, quod vocabulum paulo post sequitur, et *συγκαταβαίνειν* dicitur saepissime apud patres de potentioribus, illustrioribus, doctioribus, qui se ad infirmiores, ad humiles et indoctos vel sermone, vel ulla alia humanitate et opere submittunt. Vid. Chrysost. contra Jud. p. 65. et *Hoeschelium* in notis ad h. l. pag. 523. *L.*]

28) *οὐ γάρ ἐστιν.* Erasmus, eleganti Zeugmate cum *καλὸν*, omittit *ἐστίν*.

1) *τοσοῦτον τὸ διάφορον, ὅσον τὸ μέσον.* Eadem formula, §. 1. 94. 120. 163. 165. 185. 192. 414. 419. 469. 474. 478. 518. 524. 569. 615.

2) *κοινὸν τῆς ψυχῆς — ἀγώνισμα.* *Communis animi corporisque certatio est*, non animus tantum, sed etiam corpus partem laboris in se suscipit. *Cramerus* recte ad sensum vertit: *Ein Einsiedler hat freilich viel zu thun, aber die Arbeit ist doch zwischen seinen Körper und seine Seele gleich getheilt.* In sequentibus labores monachorum ad corpus pertinentes per *μερισμὸν* enarrat. *L.*

καὶ νηστεία σύντονος, [3]) καὶ χαμευνία, καὶ ἀγρυπνία, καὶ
ἀλουσία, καὶ ὁ πολὺς ἱδρὼς, καὶ τὰ λοιπὰ, ὅσα πρὸς τὴν
τοῦ σώματος ἐπιτηδεύουσι ταλαιπωρίαν, [4]) πάντα οἴχεται, τοῦ
533 κολάζεσθαι μέλλοντος οὐκ ὄντος ἰσχυροῦ. Ἐνταῦθα δὲ κα-
θαρὰ [5]) τῆς ψυχῆς ἡ τέχνη· καὶ οὐδὲν τῆς τοῦ σώματος εὐ-
εξίας προσδεῖται, ὥστε δεῖξαι τὴν αὐτῆς ἀρετήν. τί γὰρ ἡμῖν ἡ
τοῦ σώματος ἰσχὺς συμβάλλεται πρὸς τὸ μήτε αὐθάδεις εἶναι,
μήτε ὀργίλους, μήτε προπετεῖς, ἀλλὰ νηφαλίους, καὶ σώφρο-
νας, καὶ κοσμίους, καὶ τἄλλα πάντα, δι᾽ ὧν ἡμῖν ὁ μακά-
ριος Παῦλος τὴν τοῦ ἀρίστου ἱερέως ἀνεπλήρωσεν εἰκόνα; [6])
Ἀλλ᾽ οὐκ ἐπὶ τῆς τοῦ μονάζοντος ἀρετῆς ἔχοι τις ἂν τοῦτο
εἰπεῖν.
534 VI. Ἀλλὰ καθάπερ [1]) τοῖς μὲν θαυματοποιοῖς [2]) ὀργά-
νων δεῖ πολλῶν, καὶ τροχῶν καὶ σχοινίων καὶ μαχαιρῶν, ὁ

---

3) *νηστεία σύντονος κτλ.* Legi merentur de vita monastica et de *σωματικῇ γυμνασίᾳ* monachorum Sulpicii Severi tres dialogi inter Gallum et Posthumianum, quorum primus praecipue de vivendi ratione et miraculis monachorum orientalium agit. Cf. Gregor. Nazianz. Carm. XVIII, adversus carnem, T. II, p. 93. *L.*

4) *ταλαιπωρίαν.* Innuitur austeritas et duritia diaetae monasticae, athletas, milites, philosophos imitata, nec Hebraeis ignota, omnia aspera sectans in victu, amictu, labore, cubili, aestu et frigore. Dicitur *ἄσκησις*, §. 38. *σκληραγωγία*, §. 243. in notis.

5) *καθαρὰ, pura.* Antitheton ad *squalorem* asceticum. Sic de sacrificiis N. T. ad vetera: *ἐκτὸς αἱμάτων καὶ καπνοῦ καὶ βωμοῦ καὶ τῶν ἄλλων, τὸ εὐαγγελικὸν δῶρον ἀναπέμπεται τῷ Θεῷ καὶ ἡ θυσία ΚΑΘΑΡΑ καὶ ἀμίαντος.* Hom. in Ps. 95. Plane *σεμνῶς* squalorem asceticum Abrahamii sui *Ephraim Syrus* describit, *ὠσφράνθη τὴν ὀσμὴν τῆς ἀσκήσεως.* Edit. Oxon. f. *υνβ.* in Notis: nam potiore ejusdem loco, f. *σλ.* ex alio Codice paraphrasis exhibetur pro Sermone nativo, ut vel hujus nativi commatis turgidiuscula variatio innuit, *ὠσφράνθη τῶν χρωτῶν τῆς ἀγγελικῆς αὐτοῦ πολιτείας.* Odore illo Abrahamius animam quandam e deliciis mundi revocavit.

6) *εἰκόνα.* Exstat *Ge. Dibuadii* Comm. in hanc ipsam Ep. I. ad Tim. qui inscribitur *Speculum Sacerdotii.* vid. ibi p. 119 ss. ed. 1599. [Locus legitur 1. Timoth. III, 2. *L.*]

1) *καθάπερ.* *Erasmus*, de Chrysostomo, in Epp. suis: *Metaphoris et collationibus, quoniam plurimum conducunt et ad lucem et ad jucunditatem orationis, frequenter utitur: in quibus inveniendis quidem mirus est, sed multo mirabilior in tractandis.* Vel hic dialogus iis scatet. Operae pretium erit evolvisse §. 3. 4. 85. 93. 95 s. 102. 104. 108. 160. 183 s. 199. 206. 208. 222. 232. 239. 250. 258. 265. 270. 281. 290. 315. 318. 368. 374. 380. 383. 391. 400. 402. 431. 450. 458. 463. 466. 480. 487. 529. 553. 554. 586. 596. 600.

2) *θαυματοποιοῖς.* Horum genera notantur in *Casauboniānis* et ad ea *Wolfianis*, nominatim ex Hom. 19. ad pop. Ant. Adde *Alciphron.* Ep. 20. lib. 3. [Seneca Epist. XLV. „Sic ista (Dialecti-

δὲ φιλόσοφος ἅπασαν ἐν τῇ ψυχῇ κειμένην ἔχει τὴν τέχνην, τῶν ἔξωθεν οὐδὲν δεόμενος· οὕτω δὴ καὶ ἐνταῦθα ὁ μὲν μό- 535
ναχὸς καὶ τῆς σωματικῆς εὐπαθείας προσδεῖται, καὶ τόπων πρὸς τὴν διαγωγὴν ἐπιτηδείων, ἵνα μήτε ἄγαν ἀπῳκισμένοι τῆς τῶν ἀνθρώπων ὦσιν ὁμιλίας, καὶ τὴν ἀπὸ τῆς ἐρημίας ἔχωσιν ἡσυχίαν, ἔτι δὲ καὶ τῆς ἀρίστης μὴ ἀμοιρῶσι κράσεως τῶν ὡρῶν· 3) οὐδὲν γὰρ οὕτως ἀφόρητον τῷ κατατρυχομένῳ νηστείαις, 4) ὡς ἡ τῶν ἀέρων ἀνωμαλία. τῆς δὲ τῶν ἱματίων κατασκευῆς καὶ διαίτης ἕνεκεν, ὅσα πράγματα ἔχειν ἀναγκάζονται, 5) πάντα αὐτουργεῖν 6) αὐτοὶ φιλονεικοῦντες, οὐδὲν δέομαι λέγειν νῦν. Ὁ δὲ ἱερεὺς οὐδενὸς τούτων εἰς τὴν αὑτοῦ 536
δεήσεται χρείαν, ἀλλ' ἀπερίεργος καὶ κοινὸς ἐν ἅπασίν ἐστι τοῖς οὐκ ἔχουσι βλάβην, 7) τὴν ἐπιστήμην ἅπασαν ἐν τοῖς τῆς

---

torum captiones) sine noxa decipiunt, quomodo praestigiatorum *acetabula et calculi*, in quibus fallacia ipsa delectat. Cf. *Casaubon.* ad Theophrast. Charact. VI, 2. *L.*]

3) *ὡρῶν.* Ὥρα, de coelo h. l., de corpore humano §. 390. [Monachos, imprimis in Aegypto degentes, quaesivisse locos ob mitem aëris temperiem ad vivendum maxime opportunos, discimus ex Eusebii H. E. II, 17. *Πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶ τὸ γένος. Ἔδει γὰρ ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον. Πλεονάζει δ' ἐν Αἰγύπτῳ καθ' ἕκαστον τῶν ἐπικαλουμένων νομῶν, καὶ μάλιστα περὶ τὴν Ἀλεξάνδρειαν. Οἱ δὲ πανταχόθεν ἄριστοι, καθάπερ εἰς πατρίδα θεραπευτῶν, ἀποικίαν στέλλονται πρός τι χωρίον ἐπιτηδειότατον, ὅπερ ἐστὶν ὑπὲρ λίμνης Μαρίας κείμενον ἐπὶ γεωλόφου χθαμαλωτέρου σφόδρα εὐκαίρως, ἀσφαλείας τε ἕνεκα καὶ ἀέρος εὐκρασίας.* Cf. *Käufer. Versuch einer Beantwortung der Frage: Warum ist gerade Aegypten das Vaterland der anachoretischen Schwärmerei unter den Christen geworden?* in libro: *Zweite Denkschrift der historisch-theolog. Gesellsch. zu Leipzig.* p. 253. *Illgen, Werth der christl. Dogmengeschichte* p. 66 sq. *Schroeckh. christl. Kirchengesch.* T. I, p. 286. *L.*]

4) *τῷ κατατρυχομένῳ νηστείαις*, ei, *qui jejuniis maceratur.* Hesychius: *κατατρύχει· λυπεῖ, καταπονεῖ.* Suidas: *κατατρύχειν· ἔλαττον πιέζειν.* Cf. Xenoph. Cyropaed. V, 4, 3. *L.*

5) *ἀναγκάζονται.* Monachorum labores recenset *Ephraimi Syri* Paraenesis 48. [Praeterea cf. librum Augustini de opere Monachorum T. VI, ed. Antverp. p. 347. et *Schröckh's christl. Kirchengeschichte* T. VIII, p. 213. *L.*]

6) *αὐτουργεῖν.* Hinc verbale, *αὐτουργία.* §. 324. Magna pars simplicitatis primi aevi, deinde monachorum erat haec, ut per se quisque ageret, quod agendum esset. *Palaephatus, οἱ τότε ἄνθρωποι ΑΥΤΟΥΡΓΟΙ ΠΑΝΤΕΣ ἦσαν.* [Vid. *Perizon.* ad Aelian. V. H. I, 31. XII, 43. et *Fischer.* in Indice Palaephat. Cf. Xenoph. Oeconom. V, 4., ubi Persae *αὐτουργοὶ* dicuntur. *L.*] Vid *Balth. Bonifacii* lib. 6. Hist. lud. c. 8. et 9. et *Gataker.* ad Antonin. l. 1. §. 5. immo, de Apostolo, Act. 28, 3. etc.

7) *ἀπερίεργος — βλάβην. Montefalconius* haec verba vertit: *utpote qui non peculiarem sibi, sed communem vitam ducat,*

537 ψυχῆς θησαυροῖς ἀποκειμένην ἔχων. Εἰ δὲ τὸ μένειν ἐφ' ἑαυ-
τῶν [8]) καὶ τὰς τῶν πολλῶν ὁμιλίας ἐκτρέπεσθαι θαυμάζοι τις,
καρτερίας μὲν τοῦτο δεῖγμα καὶ αὐτὸς εἶναι φαίην ἄν, οὐ μὴν
ἁπάσης τῆς ἀνδρείας τῆς ἐν τῇ ψυχῇ τεκμήριον ἱκανόν. Ὁ
μὲν γὰρ εἴσω λιμένων ἐπὶ τῶν οἰάκων καθήμενος, οὔπω τῆς
τέχνης ἀκριβῆ δίδωσι βάσανον· τὸν δὲ ἐν μέσῳ τῷ πελάγει καὶ
τῷ χειμῶνι δυνηθέντα διασῶσαι τὸ σκάφος, οὐδεὶς ὅστις οὐκ
ἂν εἶναι φαίη κυβερνήτην ἄριστον.

538 VII. Οὐ τοίνυν ἡμῖν οὐδὲ τὸν μοναχὸν θαυμαστέον [1])
ἂν εἴη λίαν καὶ μεθ' ὑπερβολῆς, ὅτι μένων ἐφ' ἑαυτοῦ οὐ τα-
ράττεται, οὐδὲ διαμαρτάνει πολλὰ καὶ μεγάλα ἁμαρτήματα·
οὐδὲ γὰρ ἔχει τὰ παρακνίζοντα καὶ διεγείροντα τὴν ψυχήν.
ἀλλ' εἴ τις πλήθεσιν ὅλοις ἑαυτὸν ἐκδεδωκώς, καὶ τὰς τῶν
πολλῶν φέρειν ἁμαρτίας ἀναγκασθείς, ἔμεινεν ἀκλινὴς καὶ στεῤ-
ῥός, ὥσπερ ἐν γαλήνῃ τῷ χειμῶνι τὴν ψυχὴν διακυβερνῶν, οὗ-
τος κροτεῖσθαι καὶ θαυμάζεσθαι παρὰ πάντων ἂν εἴη δί-
καιος· [2]) ἱκανὴν γὰρ τῆς οἰκείας ἀνδρείας τὴν δοκιμασίαν ἐπε-
539 δείξατο. Μὴ τοίνυν μηδὲ αὐτὸς θαυμάσῃς, ὅτι τὴν ἀγορὰν
φεύγοντες ἡμεῖς καὶ τὰς τῶν πολλῶν συνουσίας, οὐκ ἔχομεν
540 τοὺς κατηγόρους πολλούς. οὐδὲ γὰρ εἰ καθεύδων οὐχ ἡμάρ-
τανον, οὐδ' εἰ μὴ παλαίων οὐκ ἔπιπτον, οὐδ' εἰ μὴ μαχόμε-
541 νος οὐκ ἐβαλλόμην, θαυμάζειν ἐχρῆν. Τίς γάρ, εἰπέ, τίς δυ-
νήσεται κατειπεῖν καὶ ἀποκαλύψαι τὴν μοχθηρίαν τὴν ἐμήν;

---

in iis rebus, quae damnum non afferant. Non satis recte, ut opinor, quamquam sensus tale quid postulare videtur. Imo *ἀπερίεργος* dicitur is, *qui non anxio tenetur se ornandi studio.* *Καλλωπιστοῦ τὸ περίεργον* inquit Isocrates aliquo loco. Cf. Cebet. Tab. 21. Aelian. VV. HH. XII, 1. *Κοινὸς* vero est nostrum, *theilnehmend.* Sensus loci nunc erit: *Der Priester braucht von allen den nichts* (quibus nimirum indiget monachus), *sondern lebt ungekünstelt, und nimmt Theil an allem, was keinen Nachtheil bringt* (i. e. quod non incitat ad peccatum); *und sein ganzes Wissen hat er niedergelegt in den Schätzen seiner Seele* (quum contra monacho aliarum etiam rerum notitia opus sit). *L.*

8) *ἐφ' ἑαυτῶν.* Sic ἐπὶ §. 255. 538. [Apud *Erasmum* et *Montefalconium* est male Dativus ἐφ' ἑαυτῷ. Significat vero ἐφ' ἑαυτοῦ μένειν nostrum: *für sich bleiben.* Cf. *Valckenar.* ad Herodot. p. 634. *Schaefer.* ad Dionys. de Compos. verbb. p. 73 sqq. et *Hermann.* ad Viger. p. 859. *L.*]

1) *θαυμαστέον.* Alii *θαυμαστόν.* Male. *L.*

2) *θαυμάζεσθαι δίκαιος.* Sic, *καλεῖσθαι, ἀφίεσθαι, ἐγκαλεῖσθαι, μισεῖσθαι, κολάζεσθαι δίκαιος.* §. 79. 137. 204. 205. 362. *τιμιώτεροι δικαίως εἶεν.* §. 189.

ὁ ὄροφος οὗτος καὶ ὁ οἰκίσκος; ἀλλ' οὐκ ἂν δύναιντο ῥῆξαι
φωνήν. ἀλλ' ἡ μήτηρ ἡ μάλιστα πάντων εἰδυῖα τὰ ἐμά; μά- 542
λιστα μὲν οὐδὲ πρὸς αὐτήν ἐστί μοι τὶ κοινὸν, οὐδὲ εἰς φι-
λονεικίαν ἤλθομεν πώποτε. [3]) εἰ δὲ καὶ τοῦτο ἦν συμβὰν, οὐ-
δεμία οὕτως ἐστὶ μήτηρ ἄστοργος καὶ μισότεκνος, ὡς τοῦτον,
ὃν ὤδινε καὶ ἔτεκε καὶ ἔθρεψε, [4]) μηδεμιᾶς ἀναγκαζούσης προ-
φάσεως, μηδὲ βιαζομένου τινὸς, κακίζειν καὶ διαβάλλειν παρὰ
πᾶσιν. Ἐπεὶ ὅτι γε, εἴ τις τὴν ἡμετέραν πρὸς ἀκρίβειαν ἐθέ- 543
λοι βασανίζειν ψυχὴν, πολλὰ αὐτῆς εὑρήσει τὰ σαθρὰ, [5]) οὐδὲ
αὐτὸς ἀγνοεῖς, ὁ μάλιστα πάντων ἡμᾶς τοῖς ἐγκωμίοις ἐπαί-
ρειν παρὰ πᾶσιν εἰωθώς. Καὶ ὅτι γε οὐ μετριάζων [6]) ταῦτα 544
λέγω νῦν, ἀνάμνησον σαυτὸν, [7]) ὁσάκις εἶπον πρὸς σὲ, λό-
γου τοιούτου γενομένου πολλάκις ἡμῖν· ὅτι, εἴ τις αἵρεσίν μοι
προὐτίθει, ποῦ μᾶλλον βουλοίμην εὐδοκιμεῖν, ἐν τῇ τῆς ἐκκλη-
σίας προστασίᾳ, ἢ κατὰ τὸν τῶν μοναχῶν βίον, μυρίαις ἂν
ψήφοις τὸ πρότερον ἐδεξάμην ἔγωγε. οὐ γὰρ διέλιπόν ποτε
μακαρίζων [8]) πρός σε τοὺς ἐκείνης τῆς διακονίας προστῆναι
δυνηθέντας καλῶς. ὅτι δὲ, ὅπερ ἐμακάριζον, οὐκ ἂν ἔφυγον
ἱκανῶς ἔχων μετελθεῖν, οὐδεὶς ἀντερεῖ. Ἀλλὰ τί πάθω; οὐ- 545
δὲν οὕτως ἄχρηστον εἰς ἐκκλησίας προστασίαν, ὡς αὑτὴ [9]) ἡ
ἀργία καὶ ἡ ἀμελετησία, [10]) ἣν ἕτεροι μὲν ἄσκησίν τινα [11]) εἶ-

---

3) *μάλιστα — πώποτε.* *At ne cum illa quidem mihi consortium est, neque inter nos ulla unquam rixa suborta est.* Ergo et haec mali quidquam de me edicere omnino non potuisset. *L.*

4) *ἔθρεψε.* Alii notante *Montefalconio* ἐξέθρεψε. *L.*

5) *σαθρά.* Idem verbum, §. 263. 265.

6) *οὐ μετριάζων.* Affine verbum εἰρωνεύεσθαι. §. 254. coll. §. 238. 144.

7) *ἀνάμνησον σαυτόν.* Reciprocum conf. p. 38.

8) *μακαρίζων.* *Quicquid in tali ministerio agis, quod quidem muneris tui ratio postulet, quoquo paene te vertis, undique occurrit, quod te semper ad memoriam rerum divinarum et coelestium excitet. Sive enim concionaris, totus ex ore Domini pendes —. Jam cetera, velut, hostiam laudis offerre semper Deo, psalmos atque hymnos canere, pro populo precari, populum docere, monere, exhortari, consolari, arguere, increpare; nonne ejusmodi sunt, quibus ut nihil Deo gratius, nihil populo utilius, ita ne tibi quidem jucundius esse quidquam debeat?* Joh. Rivius de Off. past.

9) *αὑτή.* Ita *Savil.* et *Ducaeus.* — *Hughes* non inepte scripsit αὕτη, quod placuit etiam *Hasselbachio. L.*

10) *ἡ ἀμελετησία — νομίζουσιν.* Vet. int. *inexercitatio, quam quidam abstinentiam ac propositum acre nuncupant.*

11) *τινά.* θαυμαστὴν, addit Palatinus. glossa.

ναι νομίζουσιν, ἐγὼ δὲ αὐτὴν ὥσπερεὶ παραπέτασμα τῆς οἰ-
κείας ἔχω φαυλότητος,[12]) τὰ πλείονα τῶν ἐλαττωμάτων τῶν
546 ἐμαυτοῦ ταύτῃ συγκαλύπτων καὶ οὐκ ἐῶν φαίνεσθαι. Ὁ γὰρ
ἐνεθισθεὶς [13]) τοσαύτης ἀπολαύειν ἀπραγμοσύνης καὶ ἐν ἡσυ-
χίᾳ διάγειν πολλῇ, κἂν μεγάλης ᾖ φύσεως,[14]) ὑπὸ τῆς ἀνα-
σκησίας θορυβεῖται [15]) καὶ ταράττεται, καὶ τῆς οἰκείας δυνάμεως
περικόπτει μέρος οὐ μικρὸν τὸ ἀγύμναστον. ὅτ' ἂν δὲ ὁμοῦ
καὶ βραδείας ᾖ διανοίας, καὶ τῶν τοιούτων ἀγώνων ἄπειρος,
τοῦτο δὴ τὸ ἡμέτερον, τῶν λιθίνων [16]) οὐδὲν διοίσει ταύτην
547 δεξάμενος τὴν οἰκονομίαν. Διὰ τοῦτο τῶν ἐξ ἐκείνης ἐρχομέ-
νων τῆς παλαίστρας εἰς τοὺς ἀγῶνας τούτους, ὀλίγοι διαφαί-
νονται· [17]) οἱ δὲ πλείους ἐλέγχονται, καὶ καταπίπτουσι, καὶ
πράγματα ὑπομένουσιν ἀηδῆ καὶ χαλεπά. καὶ οὐδὲν ἀπεικός.
ὅτ' ἂν γὰρ μὴ περὶ τῶν αὐτῶν οἵ τε ἀγῶνες ὦσι καὶ τὰ γυ-
μνάσια,[18]) τῶν ἀγυμνάστων ὁ ἀγωνιζόμενος οὐδὲν διενήνοχε.
548 Δόξης μάλιστα δεῖ καταφρονεῖν τὸν εἰς τοῦτο ἐρχόμενον τὸ
στάδιον, ὀργῆς ἀνώτερον εἶναι, συνέσεως ἔμπλεω πολλῆς. τού-
των δὲ τῷ τὸν μονήρη στέργοντι βίον οὐδεμία γυμνασίας ὑπό-
θεσις πρόκειται. οὐδὲ γὰρ τοὺς παροξύνοντας ἔχει πολλοὺς,
ἵνα μελετήσῃ κολάζειν τοῦ θυμοῦ τὴν δύναμιν· οὔτε τοὺς
θαυμάζοντας [19]) καὶ κροτοῦντας, ἵνα παιδευθῇ τοὺς παρὰ τῶν
πολλῶν διαπτύειν ἐπαίνους· τῆς τε ἐν ταῖς ἐκκλησίαις ἀπαι-
τουμένης συνέσεως, οὐ πολὺς αὐτοῖς [20]) λόγος. ὅτ' ἂν οὖν

---

12) *φαυλότητος*. Hoc quid notet, colligetur ex §. 480.

13) *ἐνεθισθείς*. Alii ἐθισθεὶς, ut animadvertit *Montefalconius*. *L.*

14) *μεγάλης φύσεως*. Antitheton, *βραδείας διανοίας*.

15) *ὑπὸ τῆς ἀνασκησίας — θορυβεῖται*. *Peritiae defectu percellitur statim.* Clemens Alex. Strom. II, p. 460. καὶ ἐπιτηδειότης εἰς εὐτρεψίαν ἐξ ἀνασκησίας. *L.*

16) *λιθίνων*. Λίθινος, χαλκοῦς, πήλινος, scil. ἀνδριάς. Vid. *Er.* in Adagio: *Statuâ taciturnior.*

17) *διαφαίνονται*. [*Quare pauci tantum eorum, qui ex palaestra illa in hoc certamen descendunt* (i. e. quibus vita monastica antea acta munus sacerdotale demandatur), *elucent. L.*] Idem verbum, §. 489. διαλάμπειν. §. 277.

18) *οἵτε ἀγῶνες καὶ τὰ γυμνάσια*. Per haec ad illos venitur. [Recte *Ritterus* vertit h. l. ita: *Denn wenn man nicht für dieselbe Absicht kämpft und sich übt, so unterscheidet sich der Kämpfer in Nichts von dem Ungeübten. L.*]

19) *θαυμάζοντας*. *Montefalconius* habet μακαρίζοντας. Et supra pro οὐδεμία γυμνασίας ὑπόθεσις alii legunt οὐδεμίας. *L.*

20) *αὐτοῖς*, pro αὐτῷ. Sic pergit commodius.

ἔλθωσιν εἰς τοὺς ἀγῶνας, ὧν μὴ μεμελετήκασι τὴν πεῖραν· ἀποροῦνται, ἰλιγγιῶσιν, 21) *εἰς ἀμηχανίαν* 22) *ἐκπίπτουσι, καὶ πρὸς τῷ μηδὲν ἐπιδοῦναι* 23) *πρὸς ἀρετὴν, καὶ ἅπερ ἔχοντες ἦλθον πολλοὶ πολλάκις ἀπώλεσαν.* 24)

VIII. *ΒΑΣ. Τί οὖν; τοὺς ἐν τῷ μέσῳ στρεφομένους,* 1) 549
καὶ πραγμάτων φροντίζοντας βιωτικῶν, καὶ τετριμμένους πρὸς μάχας καὶ λοιδορίας, καὶ μυρίας δεινότητος γέμοντας, καὶ τρυφᾶν εἰδότας, ἐπιστήσομεν τῇ τῆς ἐκκλησίας οἰκονομίᾳ; ΧΡ. 550
Εὐφήμει, 2) *ἔφην, ὦ μακάριε σύ. τούτους γὰρ οὐδ᾽ εἰς νοῦν βάλλεσθαι δεῖ, ὅτ᾽ ἂν ἱερέων ἐξέτασις ᾖ· ἀλλ᾽ εἴ τις* 3) *μετὰ τοῦ πᾶσιν ὁμιλεῖν καὶ συναναστρέφεσθαι δύναιτο* 4) *τὴν καθα-*

---

21) *ἰλιγγιῶσιν.* Idem verbum, §. 247.

22) *ἀμηχανίαν.* Haec dicitur vel de re, §. 517. vel de animo. §. 594. — Tale quiddam de se, modestiusne haud scio an verius, confitetur *Synesius*, epistolam 67. bene longam difficultatumque plenam sic concludens, *Thoma Naogeorgo* interprete: *Precare Deum pro me. nam pro* derelicto *precaberis, et ab omnibus* desolato, *ac hujusmodi auxiliis opus habente, quod ipse cuncter* (ὀκνῶ.) *aliquid pro me ad Deum loqui, cuncta enim mihi* in diversum recidunt *propter temerariam audaciam; quod homo in peccatis haerens,* non exercitatus in ecclesiis, *alia institutione institutus, Dei altaria attigerim.*

23) *ἐπιδοῦναι.* Nos, *zulegen.* [Sic v. c. dicitur de dote. Vid. Hesych. s. v. *ἐπίδοσις* coll. *Sturz.* in Lex. Xenophont. II, p. 278. *L.*]

24) *ἀπώλεσαν.* Ipsa haec est summa librorum *Bernardi* de Consideratione ad Eugenium pont. max. quo scripto Bernardus, judice Drexelio, Bernardum superavit. Sane magni homines, post magnos labores, magnorum fructuum magnam facere iacturam possunt. Exempla sibi nota memorat *Macarius* Hom. XVII. §. 14. XXVI. 16. XXVII. 14 s.

1) *ἐν τῷ μέσῳ στρεφομένους.* Phrasis in utramvis partem, vide mox.

2) *εὐφήμει.* *Bona verba, quaeso,* vel: *Dii meliora. Behüte Gott!* Dicebatur nimirum *εὐφήμει* ab eo, qui alterum vel verba bonum omen significantia proferre, vel omnino tacere vellet. Suidas: *εὐφήμει· σιώπα, μὴ ἀκαιρολόγει.* Vid. *Hemsterhus.* ad Lucian. Char. §. 12. *Sturz.* Lex. Xenoph. II, 421. et *Koeppen* in Ind. ad Plat. Alcib. II. *L.*

3) *ἀλλ᾽ εἴ τις.* *Ἀπὸ κοινοῦ* repetendum esse *ἐπιστήσομεν,* recte monet *Cant. ed.* 2. nam eadem ellipsis est §. 84. 126. 157. 164. 410. 515. 516 fin. et plane Eph. 4, 29.

4) *δύναιτο.* Exemplis alibi laudatis addi poterit ex *Basilii Sel.* libro 2. Theclae c. 30. Dexianus. Is *ἐν τῷ μέσῳ στρεφόμενος καὶ πολιτικώτερον βιοὺς οὐ πάμπαν τῆς ἐκείνων* (*τῶν μοναχῶν*) *ἀρετῆς ἀπεσχοίνιστο.* Addit, *τὸν δὲ Ἰωάννην τοῦτον οὐδὲ ὁ πολύευκτος τῆς ἐπισκοπῆς θρόνος τῶν τῆς ἁγιαστίας νόμων ἐξέβαλε. κτλ.* S. Hildulfus monachus, Trevirorum confirmatus antistes, *non modo aliquid de boni operis proposito semel arrepto non imminuit, sed velut cen-*

ρότητα καὶ τὴν ἀταραξίαν, τήν τε ἁγιωσύνην καὶ καρτερίαν καὶ νῆψιν, καὶ τὰ ἄλλα τὰ τοῖς μοναχοῖς προσόντα ἀγαθὰ, φυλάττειν ἀκέραια καὶ ἀπαρασάλευτα, μᾶλλον τῶν μεμονωμέ-
551 νων ἐκείνων. ὡς ὅγε [5]) πολλὰ μὲν ἔχων ἐλαττώματα, δυνάμενος δὲ αὐτὰ τῇ μονώσει καλύπτειν, καὶ ποιεῖν ἄπρακτα τῷ μηδενὶ καταμιγνύναι ἑαυτόν· οὗτος εἰς μέσον ἐλθὼν, οὐδὲν ἕτερον ἢ τὸ καταγέλαστος γενέσθαι [6]) κερδανεῖ, καὶ κινδυνεύ-
552 σει μειζόνως. ὃ μικροῦ δεῖν [7]) ἐπάθομεν ἂν ἡμεῖς, εἰ μὴ ἡ τοῦ Θεοῦ κηδεμονία τὸ πῦρ ταχέως ἀνέσχε τῆς ἡμετέρας κε-
553 φαλῆς. Οὐ γάρ ἐστι λαθεῖν τὸν οὕτω διακείμενον, ὅτ' ἂν ἐν τῷ φανερῷ καταστῇ, ἀλλὰ πάντα τότε ἐλέγχεται· καὶ καθάπερ τὰς μεταλλικὰς ὕλας δοκιμάζει τὸ πῦρ, οὕτω καὶ ἡ τοῦ

---

tuplicatum augmentavit, ut habet ejus Vita in *Hist. Mediani Monasterii* p. 53. Singulare est exemplum, quod noster commemorat, pueri, quem pater suus, vir amplissimus, ad splendorem mundi, mater pia ad vitam solitariam conabatur adducere. quocirca mater monachum ei paedagogum dedit, qui puerum, dum pater eum putaret artibus militi quoque olim profuturis erudiri, ita ad suum institutum formavit, ut summam victûs elegantiam cum summa mentis puritate conjungeret. Vid. plane l. 3. pro Vita mon. c. 10. quod quidem totum opus hunc locum illustrat. Sunt, qui solitudinem assequendae perfectioni multis partibus aptiorem statuant, quam celebritatem. sed tamen hanc qui perferunt, multo magis excoquuntur et purificantur; modo superent aut certe evadant.

5) ὡς ὅγε. Sic, ὡς ὅγε. §. 231. ὡς τόγε. §. 297. 303.

6) τὸ καταγέλαστος γενέσθαι. Casus rectus. Conf. §. 42. 47. 213. 216. 414. 417. Sic Hom. in illud, *Si esurierit inimicus*, μετὰ τοῦ μέλους ἕκαστος εἰς τὴν ἐκκλησίαν εἰσιέτω, καὶ πατὴρ υἱὸν κτλ. καὶ φίλος φίλον διεγειρόντων. ibidem, φειδόμενος οὕτως, ὡς ἑλέσθαι κινδυνεῦσαι μᾶλλον αὐτός. Hom. 14. in Ep. ad Rom. τῷ γὰρ μεγάλη τις εἶναι καὶ ἄφραστος ἐκεῖ (ἡ δόξα) τεταμίευται. *Basilius Sel.* Or. 29. in illud, *Venite ad me:* ὢ φωνῆς, κοινὸν ἀνθρώπων ἀναδυσαμένης τρόπαιον· ὢ φωνῆς, σωτηρίας πηγή. *o vocem, quae commune hominum existit tropaeum: o vocem, salutis fontem.* Sic antiquiores. *Xenophon*, κινδυνεύσεις ἐπιδεῖξαι, σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλος. *Demosthenes*, παραλείπω τὸ πολλάκις αὐτὸς ἐστεφανῶσθαι πρότερον. Adde *Budaei* Comm. *E. Schmid.* ad Act. 15, 23. *Cyr. Gunther.* P. II. Lat. rest. p. 661 ss. [Vid. *Viger.* pag. 202. et *D'Orvillius* ad Charit. p. 269. *L.*]

7) μικροῦ δεῖν, *quod parum abfuit, quin nobis accideret.* Dicitur etiam ὀλίγου δεῖν. Hesychius et ex eo Favorinus: ὀλίγου δεῖν· σχεδὸν, ἐγγύς. Suidas: ὀλίγου δεῖν· σχεδὸν, παρὰ μικρόν. Isocrat. Evagor. 11. ὥστε μικροῦ δεῖν ἐλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς. Platon. Apolog. Socr. 1. ἐγὼ δ' οὖν καὶ αὐτὸς ὑπ' αὐτῶν ὀλίγου δεῖν ἐμαυτοῦ ἐπελαθόμην, ubi tamen **Stallbaumius** delevit v. δεῖν. Vid. **Reizius** et **Hermann.** ad Viger. p. 744. **Goeller.** ad Thucyd. IV, 124. **Sturz.** Lex. Xenoph. III, 158. et **Matthiae.** Gr. gr. §. 354. *L.*

κλήρου [8]) βάσανος τὰς τῶν ἀνθρώπων διακρίνει ψυχὰς, κἂν ὀργίλος τις ᾖ, κἂν μικρόψυχος, κἂν φιλόδοξος, κἂν ἀλαζὼν,

---

8) *κλήρου*. Vet. int. clericatus. *Οἱ κλῆροι*, 1. Petr. 5, 2. 3. sunt *τὸ ποίμνιον τοῦ Θεοῦ* totum, id est, *οἱ λαοὶ*, §. 219. Conf. *Greg. Naz.* Or. 3. f. 63, ed. Paris. 1630. Itaque *κλῆρος* est *λαὸς*, pars Dominici gregis, quae uni aut pluribus pascenda obtigit. quo pacto *Theophanes* Hom. 12. auditores appellat, *ὦ κλῆρος ἐμός*. Exinde *clerus* vocatus est ordo ecclesiasticus, *ἡ τοῦ κλήρου τάξις*. §. 278. Vid. *Suicer*. P. 2. Thes. col. 111. [Nam *omnes*, inquit Isidor. de offic. eccl. Cap. I, *quos illis* (sc. apostolorum) *temporibus ecclesiarum principes ordinabant, sorte eligebant.* Et Suidas ait: *λέγεται κλῆρος καὶ τὸ σύστημα τῶν διακόνων καὶ πρεσβυτέρων.* Cf. Oecumenius in ep. Petr. p. 165. *κλῆρον τὸ ἱερὸν σύστημα καλεῖ, ὥσπερ καὶ νῦν ἡμεῖς. L.*] Sensim vero inolevit Clericorum et Laicorum antithesis. *Laicos* Ignatius jam tum dixit: *clerum* etiam, Tertullianus, nec tamen *clericos*. nam is hoc nomen illo adhibito circumloquitur c. 12. de Monog. *Adeo, inquiunt, permisit apostolus iterare connubium, ut solos, qui sunt in* clero, *monogamiae jugo adstrinxerit. — unde enim* episcopi et clerus: *nonne de omnibus?* Et sic uno illo loco saepius. *Clerici* nominantur apud Hieronymum. Notabat igitur *clerus* primo gregem: deinde curam gregis sive munus pastorale, in abstracto; ut ex Tert. l. c. ex Chrysostomi praesente ob id ipsum notabili loco et ex Arg. l. 4. c. 1. apparet: denique ipsum antistitum ordinem in concreto. Ingens metalepsis. Illud etiam ex mimesi illa Tertullianica possis suspicari a populo *clerum* primitus hac appellatione cohonestatum. nam Tertullianus suo nomine et simpliciter loquens ea non magis utitur, quam aequales. Rara certe diu fuit. nam si solennis fuisset, saepius utique in hoc Dialogo, in Gregorii Apologetico, in Ambrosii libello, sic poscente materia, occurreret. *Cleros*, apum mellificio inimicus, quid sit, docet Arist. l. 8. Hist. anim. c. 27. et Plin. l. 11. c. 19. *clerum* ecclesia (non cavillamur) nisi bonus est, aeque tristem persentiscit, atque alveus. [Cf. *J. H. Boehmer. in Dissert.* XII. *Juris eccles. antiqui*, Dissert. VII. *de differentia inter ordinem ecclesiasticum et plebem.* p. 340 sqq. *Schroeckh. chr. K. G.* Tom. III, p. 385. „*Noch berühmter ist der Unterschied, den Tertullian zwischen dem Clerus und dem Volke* (Clerus et Laici) *macht. Zwar ist das Alter und Aufkommen desselben ungewiss; allein vermuthlich von Tertullians Zeiten nicht weit entfernt, weil man darin einige Verwandtschaft mit der Meinung von dem Priesterthum der christlichen Lehrer erblickt. Der Nahme Clerus ist aus der griechischen Uebersetzung eines in den Schriften des A. B. gewöhnlichen Worts, das zunächst ein Erbe oder Erbtheil bedeutet, entstanden. Mit demselben werden zuweilen die Israeliten überhaupt, als ein eigenthümliches Volk Gottes belegt: und daher wurde es auf alle Christen, weil sie an die Stelle dieses Volks getreten waren, vom Petrus* (1. *Br. C.* 5, 3.) *angewandt. Aber im engern Verstande hiessen die Priester und Leviten das Erbtheil Gottes, oder auch selbst ihr Erbtheil. Und in dieser Beziehung wurde die christl. Geistlichheit, ja, wie es glaublich ist, auf ihre eigene Veranlassung Clerus oder Clerici genannt. Ihr wurden die übrigen Christen, eben so wie ehemals die israelitische Gemeine den Priestern, unter dem Namen des Volks (Laici — Layen) entgegengesetzt.*“ Cf. Clemens Alex. quis div. salv. 42. Euseb. H. E. V, 28. ibique *Heinichen*, et *Neander*. *Denkwürdigkeiten* T. I, p. 427. *L.*]

κἂν ὅ τι δήποτε ἕτερον, ἅπαντα ἐκκαλύπτει καὶ γυμνοῖ τα-
554 χέως τὰ ἐλαττώματα· οὐ γυμνοῖ δὲ μόνον, ἀλλὰ καὶ χαλεπώ-
τερα καὶ ἰσχυρότερα αὐτὰ καθίστησι. Καὶ γὰρ τὰ τοῦ σώ-
ματος τραύματα, προστριβόμενα, δυσίατα γίγνεται· καὶ τὰ
τῆς ψυχῆς πάθη, κνιζόμενα καὶ παροξυνόμενα, μᾶλλον ἀγριαί-
νεσθαι πέφυκε, καὶ τοὺς ἔχοντας αὐτὰ πλείονα ἁμαρτάνειν
555 βιάζεται. καὶ γὰρ εἰς ἔρωτα δόξης ἐπαίρει τὸν μὴ προσέχοντα,
καὶ εἰς ἀλαζονείαν, 9) καὶ εἰς χρημάτων ἐπιθυμίαν· ὑποσύρει
δὲ καὶ εἰς τρυφὴν καὶ εἰς ἄνεσιν καὶ ῥαθυμίαν, καὶ κατὰ μι-
κρὸν εἰς τὰ περαιτέρω τούτων ἐκ τούτων τικτόμενα κακά.
556 Πολλὰ γάρ ἐστιν ἐν τῷ μέσῳ τὰ δυνάμενα ψυχῆς ἀκρίβειαν
557 ἐκλῦσαι, καὶ τὸν ἐπ' εὐθείας 10) διακόψαι δρόμον. καὶ πρῶ-
τον ἁπάντων αἱ πρὸς τὰς γυναῖκας ὁμιλίαι. Οὐδὲ γάρ ἐστι
τὸν προεστῶτα, καὶ παντὸς τοῦ ποιμνίου κηδόμενον, τοῦ μὲν
τῶν ἀνδρῶν ἐπιμελεῖσθαι μέρους, τὸ δὲ τῶν γυναικῶν παρο-
ρᾶν, ὃ μάλιστα δεῖται προνοίας πλείονος, διὰ τὸ πρὸς τὰς
ἁμαρτίας εὐόλισθον· ἀλλὰ δεῖ καὶ τῆς τούτων ὑγιείας, εἰ καὶ
μὴ ἐκ πλείονος, ἀλλ' οὖν ἐξ ἴσης φροντίζειν τῆς μοίρας, τὸν
λαχόντα τὴν ἐπισκοπὴν διοικεῖν. καὶ γὰρ ἐπισκοπεῖσθαι αὐ-
τὰς, ἡνίκα ἂν κάμνωσι, καὶ παρακαλεῖν, ἡνίκα ἂν πενθῶσι,
καὶ ἐπιπλήττειν ῥαθυμούσαις, 11) καὶ βοηθεῖν καταπονουμέναις
558 ἀνάγκη. Τούτων δὲ γινομένων, πολλὰς ἂν εὕροι τὰς παρεισ-
δύσεις ὁ πονηρὸς, 12) εἰ μὴ ἠκριβωμένῃ τις ἑαυτὸν τειχίσειε
φυλακῇ. καὶ γὰρ ὀφθαλμὸς βάλλει καὶ θορυβεῖ ψυχὴν, οὐχ ὁ
τῆς ἀκολάστου μόνον, ἀλλὰ καὶ ὁ τῆς σώφρονος, καὶ κολα-
κεῖαι μαλάσσουσι, καὶ τιμαὶ καταδουλοῦνται· καὶ ἀγάπη ζέ-
ουσα, τοῦτο δὴ τὸ πάντων αἴτιον τῶν ἀγαθῶν, μυρίων αἴ-
559 τιον γέγονε κακῶν, τοῖς οὐκ ὀρθῶς χρησαμένοις αὐτῇ. Ἤδη

---

9) *ἀλαζονείαν.* Apte usus est nostro in loco hoc voc. Chrysostomus. Nam quem Graeci vocant *ἀλαζόνα*, eum Latini dicunt *ostentatorem.* Jactat se quidem ὁ *ἀλαζών*, alios tamen non contempit. Bene egit de hujus vocabuli usu *Casaubon.* ad Theophr. C. XXIII, p. 353, quocum cf. *Tittmannum*, praeceptorem optimum, in *Lexic. Synonym. N. T. Spec. IV, p.* 13. *L.*

10) *ἐπ' εὐθείας.* Ita, ἐξ *εὐθείας*, scil. ὁδοῦ. §. 79.

11) *ῥαθυμούσαις.* Alibi opponit noster τὸ *ἐγκρατὴς* et *ῥάθυμος.* hic quoque *ῥαθυμεῖν* sic accipimus. [Paulo post *Savil.* habet *ἐπιβοηθεῖν*, quo tamen non opus est. *L.*]

12) *πολλὰς — ὁ πονηρὸς*, *plures furtim intrandi occasiones malus daemon invenire potest.* *παρείσδυσις* est quod nos dicimus, *das heimliche Einschleichen.* Vid. Epist. Judae v. 4, et Herodian. VII, 9. 18. *L.*

δὲ καὶ φροντίδες συνεχεῖς ἤμβλυναν τὸ τῆς διανοίας ὀξὺ, καὶ
μολίβδου [13]) βαρύτερον τὸ πτηνὸν [14]) ἀπειργάσαντο· καὶ θυ-
μὸς δὲ προσπεσὼν καπνοῦ δίκην τὰ ἔνδον κατέσχεν ἅπαντα.

IX. Τί ἂν τις λέγοι τὰς ἐκ τῆς λύπης [1]) βλάβας, τὰς 560
ὕβρεις, τὰς ἐπηρείας, τὰς μέμψεις, τὰς παρὰ τῶν μειζόνων,
τὰς παρὰ τῶν ἐλαττόνων, τὰς παρὰ τῶν συνετῶν, [2]) τὰς
παρὰ τῶν ἀσυνέτων; τοῦτο γὰρ [3]) δὴ μάλιστα τὸ γένος τῆς 561
ὀρθῆς ἀπεστερημένον κρίσεως, μεμψίμοιρόν τε ἐστὶ καὶ οὐκ
ἂν εὐκόλως ἀπολογίας ἀνάσχοιτό ποτε. Τὸν δὲ προεστῶτα [4]) 562
καλῶς, οὐδὲ τούτων δεῖ καταφρονεῖν, ἀλλὰ πρὸς ἅπαντας
περὶ ὧν ἂν ἐγκαλῶσι διαλύεσθαι, μετὰ πολλῆς τῆς ἐπιεικείας
καὶ πραότητος, συγγινώσκοντα μᾶλλον αὐτοῖς τῆς ἀλόγου
μέμψεως, ἢ ἀγανακτοῦντα καὶ ὀργιζόμενον. Εἰ γὰρ ὁ μακά- 563
ριος Παῦλος, μὴ κλοπῆς ὑπόνοιαν λάβῃ παρὰ τοῖς μαθηταῖς,
ἔδεισε, καὶ διὰ τοῦτο προσέλαβε καὶ ἑτέρους εἰς τὴν τῶν χρη-
μάτων διακονίαν, ἵνα μή τις ἡμᾶς μωμήσηται, φησὶν, ἐν τῇ
ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν· [5]) πῶς ἡμᾶς οὐ

---

13) *μολίβδου.* Ita scripserunt h. v. *Montefalconius* et *Bengel.* *Hughes* contra dedit *μολύβδου*, quae scriptura verior est teste Favorino, qui dicit: *μόλιβος, καὶ μόλυβδος. εἰ μεν ι ἐστὶ, τὸ δ οὐκ ἔστιν, — εἰ δὲ υ, τὸ δ ἔχει.* Vid. *Wass.* ad Thucyd. I, 93. *L.*

14) *τὸ πτηνόν.* Al. *τὸν πτηνὸν*, ex rhythmo.

1) *ἐκ τῆς λύπης.* Eorum, quae sunt *ἐκ τῆς λύπης*, quatuor genera per *σχῆμα χιαστὸν* enumerat: *βλάβας μειζόνων κτλ.* [*Bengelius* in textum recepit lectionem: *τὰς ἐκ τῆς λύπης βλάβας*, quae in aliquot tantum Mss. notante *Montefalconio* reperitur. In plurimis libris legitur: *τί ἂν τις λέγοι τὰς λοιπὰς βλάβας*, quam lectionem habent *Erasmus*, *Montefalconius*, *Hughes* aliique. *Ritterus* quoque vertit: *Was soll ich erst die übrigen Nachtheile nennen?* Annotavit tamen non inepte *J. Hughes* p. 304. de h. l. haecce: „Lectio *τὰς ἐκ τῆς λύπης βλάβας* neutiquam contemnenda est. Nam recensuerat prius irae et curarum mala, quin et cupidinis, adulationis, honorum et charitatis (quae sunt *τῆς ἡδονῆς*) incommoda: pergit igitur jam ad aliud genus malorum huic contrarium, ea nimirum, quae propria sunt *τῆς λύπης*, sc. *τὰς ὕβρεις* etc.“ *L.*]

2) *ἐπηρείας παρὰ συνετῶν.* *Quamquam revera omnis calumniator ἀσύνετος est*, inquit *H. Zanchius*, hunc locum laudans in Ep. ad J. Wolphium.

3) *γάρ.* Perpetua fere connectendi ratio est haec Chrysostomi, etiam in Homiliis, ut ejusmodi verba periodo inserat, quibus adjutus *λεληθότως* ad ea quae consequuntur, per aetiologiam veniat. vide inprimis §. 395. 425. 146 not.

4) *τὸν δὲ προεστῶτα.* *Zanch.* l. c. *Eleganter et pie, ut omnia, Chrysostomus inquit*: *τὸν προεστῶτα*, *sive in ecclesia sive in schola*, *δεῖ πρὸς ἅπαντας — ἀπέχωσι δόξης.*

5) *ὑφ' ἡμῶν.* Vid. 2. Cor. VIII, 20. *L.*

πάντα δεῖ ποιεῖν, ὥστε τὰς πονηρὰς ἀναιρεῖν ὑποψίας, κἂν ψευδεῖς, κἂν ἀλόγιστοι τυγχάνωσιν οὖσαι, κἂν σφόδρα τῆς
564 ἡμετέρας ἀπέχωσι δόξης; Οὐδενὸς γὰρ ἁμαρτήματος τοσοῦτον ἡμεῖς ἀφεστήκαμεν, ὅσον κλοπῆς ὁ Παῦλος· ἀλλ' ὅμως καὶ τοσοῦτον ἀφεστηκὼς τῆς πονηρᾶς ταύτης πράξεως, οὐδὲ οὕτως ἠμέλησε τῆς τῶν πολλῶν ὑπονοίας, καίτοι λίαν οὔσης ἀλόγου καὶ μανιώδους. Μανία γὰρ ἦν, τοιοῦτον ὑποπτεῦσαί τι περὶ τῆς μακαρίας καὶ θαυμαστῆς ἐκείνης ψυχῆς· ἀλλ' ὅμως οὐδὲν ἧττον καὶ ταύτης τῆς ὑποψίας τῆς οὕτως ἀλόγου καὶ ἣν οὐδεὶς ἂν μὴ παραπαίων ὑπώπτευσε, πόῤῥωθεν ἀναιρεῖ τὰς αἰτίας, καὶ οὐ διέπτυσε τὴν τῶν πολλῶν ἄνοιαν, οὐδὲ εἶπε· τίνι γὰρ ἂν ἐπέλθοι ποτὲ τοιαῦτα περὶ ἡμῶν ὑπονοεῖν, καὶ ἀπὸ τῶν σημείων, καὶ ἀπὸ τῆς ἐπιεικείας τῆς ἐν τῷ βίῳ, πάντων ἡμᾶς καὶ τιμώντων καὶ θαυμαζόντων; ἀλλὰ πᾶν τοὐναντίον καὶ προεῖδε [6]) καὶ προσεδόκησε ταύτην τὴν πονηρὰν ὑπόνοιαν, καὶ πρόῤῥιζον αὐτὴν ἀνέσπασε, μᾶλλον δὲ οὐδὲ φῦναι τὴν ἀρχὴν ἀφῆκε· διὰ τί; προνοοῦμεν [7]) γάρ, φησί, καλὰ
565 οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. Τοσαύτη δεῖ, μᾶλλον δὲ καὶ πλείονι κεχρῆσθαι σπουδῇ, ὥστε μὴ μόνον αἰρομένας κατασπᾶν καὶ κωλύειν τὰς φήμας τὰς οὐκ ἀγαθάς, ἀλλὰ καὶ πόῤῥωθεν, ὅθεν ἂν γένοιντο, προορᾶν, καὶ τὰς προφάσεις, ἐξ ὧν τίκτονται, προαναιρεῖν, μὴ περιμένειν αὐτὰς συστῆναι καὶ ἐν τοῖς τῶν πολλῶν διαθρυληθῆναι στόμασι. τηνικαῦτα γὰρ οὔτε εὔπορον αὐτὰς ἀφανίσαι λοιπόν, ἀλλὰ καὶ λίαν δυσχερές, τάχα δὲ καὶ ἀδύνατον, οὔτε ἀζήμιον,
566 τῷ μετὰ τὴν τῶν πολλῶν βλάβην τοῦτο γίνεσθαι. Ἀλλὰ γὰρ μέχρι τίνος οὐ στήσομαι διώκων ἀκίχητα; [8]) τὸ γὰρ ἁπάσας τὰς ἐκεῖ δυσχερείας καταλέγειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ πέλα-
567 γος ἀναμετρεῖν. Καὶ γὰρ ὅτ' ἄν τις αὐτὸς παντὸς καθα-

---

6) *προεῖδε*. Congruit *προορᾶν*. §. seq. Erasmus, *ὑπείδετο*. [*Erasmi* lectionem habent etiam *Montefalconius* et *Joh. Hughes* ex quatuor Codicibus. Sed jam Anglicus hujus libri editor censuit, aptius respondere lectionem *προεῖδε* sequentibus *προνοοῦμεν* et *προορᾶν*. *L.*]

7) *προνοοῦμεν*. *Προνοούμενοι*, Augustanus, alii apud Montef. Mox Erasmus *οὐ μόνον* et *ἀλλὰ* omittit. [Locus Paulinus legitur 2. Cor. VIII. 21. Rom. XII, 17. *L.*]

8) *διώκων ἀκίχητα*. Hom. Il, Ps. v. 75. *Cant. ed.* 2. *ἀκίχητα κιχεῖν*. Synes. hymn. 1. *Hoeschelius*. [*διώκειν ἀκίχητα*, *persequi ea, quae non possum consequi*, legitur apud Homer. Iliad. XVII, 75. *Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων*. *L.*]

ῥεύσῃ πάθους, ὃ τῶν ἀδυνάτων ἐστίν· ἵνα τὰ τῶν ἄλλων ἐπανορθώσῃ πταίσματα, μυρία ὑπομένειν ἀναγκάζεται δεινά. προστεθέντων δὲ καὶ τῶν οἰκείων νοσημάτων, θέα τὴν ἄβυσσον τῶν πόνων καὶ τῶν φροντίδων, καὶ ὅσα πάσχειν ἀνάγκη τῶν τε οἰκείων καὶ τῶν ἀλλοτρίων βουλόμενον περιγενέσθαι κακῶν.

X. *ΒΑΣ.* Νῦν δὲ, φησὶν, οὐ δεῖ σοι πόνων, οὐδὲ φροντί- 568
δας ἔχεις[1]) κατὰ σαυτὸν ὤν; *ΧΡ.* Ἔχω μὲν, ἔφην, καὶ νῦν. πῶς 569
γάρ ἐστιν, ἄνθρωπον ὄντα καὶ τὸν πολύμοχθον τοῦτον βιοῦντα
βίον, φροντίδων ἀπηλλάχθαι καὶ ἀγωνίας; ἀλλ' οὐκ ἔστιν
ἴσον, εἰς πέλαγος ἄπειρον ἐμπεσεῖν, καὶ ποταμὸν παραπλεῖν·
τοσοῦτο γὰρ τούτων κἀκείνων τῶν φροντίδων τὸ μέσον. Νῦν 570
μὲν γὰρ εἰ μὲν δυνηθείην καὶ ἑτέροις γενέσθαι χρήσιμος, βου-
λοίμην ἂν καὶ αὐτὸς, καὶ πολλῆς μοι τοῦτο ἔργον εὐχῆς· εἰ
δὲ οὐκ ἔστιν ἕτερον ὀνῆσαι, ἐμαυτὸν γοῦν ἐὰν ἐγγένηται δια-
σῶσαι καὶ τοῦ κλύδωνος ἐξελεῖν, ἀρκεσθήσομαι τούτῳ. *ΒΑΣ.* 571
Εἶτα τοῦτο μέγα οἴει, φησὶν, εἶναι· ὅλως δὲ καὶ σωθήσεσθαι
νομίζεις, ἑτέρῳ μηδενὶ γενόμενος χρήσιμος; *ΧΡ.* Εὖ καὶ κα- 572
λῶς, ἔφην, εἴρηκας· οὐδὲ γὰρ αὐτὸς τοῦτο πιστεύειν ἔχω,
ὅτι σώζεσθαι[2]) ἔνεστι τὸν οὐδὲν εἰς τὴν τοῦ πλησίον κάμνοντα
σωτηρίαν. οὐδὲ γὰρ ἐκεῖνον τὸν δείλαιον[3]) ὤνησέ τι τὸ

---

1) *ἔχεις.* *Fr. Ducaeus* legit: *οὐδείς σοι τῶν πόνων τούτων ἄγων, οὐδὲ.* — Teste *Hughesio* lectionem, quae in textu est, habent quatuor Cdd., et infra c. XII, §. 579. similiter legitur: *νῦν μὲν εἰ καὶ πολλοῦ μοι δεῖ πόνου. L.*

2) *σώζεσθαι.* Hom. 20. in Act. *οὐδὲν ψυχρότερον χριστιανοῦ ἑτέρους μὴ σώζοντος. nil frigidius Christiano, qui aliorum saluti deest.* Basil. Sel. Or. 19. *ἡ φιλανθρωπία φιλοθεΐας ὁδός. amor proximi, via amoris divini.* Macarius hom. 37. *οὐκ ἔστιν ἄλλως σωθῆναι, εἰ μὴ διὰ τοῦ πλησίον. non salvamur, nisi proximi salute curata.* Cordi imprime, juventus, haec apophthegmata.

3) *δείλαιον.* Ambrosius: *Si quis oraculi reminiscatur Domini, quo frugi* (*frugiperdam* potius) *famulum de servata sibi pecunia increpavit: non jam otiosus auditor collatam sibi divini muneris gratiam suis tantum usibus reservabit, sed cunctis eam communicabilem faciens copiosius praerogando securius possidebit.* lib. ineunte de Dign. sacerd. Qui libellus etsi paginis tantummodo quinque in Erasmi editione constat, tamen cum Dialogo hoc in citandis conjungendisque N. T. testimoniis, in argumentis, in comparationibus, atque adeo in verbis saepissime convenit. Non pigebit collationem recognoscere, datam ad §. 88. 135. 157. 163. 189. 207. 222. 228. 237. 256. 274. 346. 370. 385. 445. 524. 573. 624. Fit interdum, ut diversi eadem dicant inscientes; de qua mirabili *συνεμπτώσει* nonnulla collegit *Marhof.* Polyh. lit. lib. 7. c. 1. §. 15. Sed hic videtur alterius alter, et quidem Chrysostomi aliqua dignatus sua facere

μὴ[4]) μειῶσαι τὸ τάλαντον· ἀλλ' ἀπώλεσε[5]) τὸ μὴ πλεονάσαι
573 καὶ διπλοῦν προσενεγκεῖν. Πλὴν ἀλλ' ἐπιεικεστέραν[6]) μοι οἶμαι
τὴν τιμωρίαν ἔσεσθαι ἐγκαλουμένῳ, διὰ τί μὴ καὶ ἑτέρους
ἔσωσα, ἢ διὰ τί[7]) καὶ ἑτέρους καὶ ἐμαυτὸν προσαπώλεσα,
πολὺ χείρων γενόμενος μετὰ τὴν τοσαύτην τιμήν. Νῦν μὲν
γὰρ τοσαύτην ἔσεσθαί μοι πιστεύω τὴν κόλασιν, ὅσην ἀπαι-
τεῖ τῶν ἁμαρτημάτων τὸ μέγεθος· μετὰ δὲ τὸ δέξασθαι τὴν
ἀρχὴν, οὐ διπλῆν μόνον καὶ τριπλῆν, ἀλλὰ καὶ πολλαπλα-
σίονα, τῷ τε πλείονας[8]) σκανδαλίσαι καὶ τῷ μετὰ μείζονα
τιμὴν προσκροῦσαι τῷ τετιμηκότι Θεῷ.
574 XI. *Διά τοι τοῦτο καὶ τῶν Ἰσραηλιτῶν σφοδρότερον*
κατηγορῶν, τούτῳ δείκνυσιν αὐτοὺς μείζονος ὄντας κολάσεως
ἀξίους, τῷ μετὰ τὰς παρ' αὐτοῦ γενομένας εἰς αὐτοὺς τιμὰς
ἁμαρτεῖν, ποτὲ μὲν λέγων· *Πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν τῶν
φυλῶν τῆς γῆς, διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς τὰς ἀσεβείας*[1])

---

senex Ambrosius. neque enim tam abjudicandum ei totum libellum, quam aliena passim manu contaminatum esse putem. Certe etiam aliorum scripta Ambrosius ex Graecis Latina fecit: et adhuc Latini studiosiores erant Graecarum literarum, quam Latinarum Graeci.

4) *τὸ μὴ — τὸ μὴ κλ.* Sic ed. prima, convenienter antitheto *σώζεσθαι* al. *τῷ μὴ — τῷ μὴ κλ.* al. *τὸ μὴ — τῷ μὴ κλ.*

5) *ἀλλ' ἀπώλεσε.* Rectius *Savilius: ἀλλὰ καὶ ἀπώλεσε.* Nostram lectionem debemus *Ducaeo. L.*

6) *ἐπιεικεστέραν.* *Prudentius*, Hamartigeniam concludens: *Lux immensa alios et tempora vincta coronis Glorificent:* me poena levis clementer *adurat.* adde versus complures, qui hos praecedunt, hac notati censura Vict. Giselini: *Itane, o Prudenti, tam abjecto quenquam esse animo? aliud certe nobis spondent suaves evangelii voces.* Prudentii carmen excusare possit totius argumenti tristitiae conveniens epilogus, conditione non carens: et tamen apertiore sub conditione Chrysostomus loquitur. Interdum pii, maxime veteres, ut animus atque propositum ferunt, tantam adhibent *ταπεινολογίαν*, ut se de numero credentium, diligentium, sperantium, tantisper eximant. idque in Soliloquiis potissimum et sermonibus *κατανυκτικοῖς* valde usitatum est. conf. §. 448. 523. 524. Interea non debet praesens animi sensus, utut perscriptus, pro statu ejusmodi accipi, in quo, Gratia Dei et laude gratiae spreta, permanendum sibi putarent pii.

7) *ἢ διὰ τί.* *Erasmus*, *Savil.*, *Ducaeus* et *Montefalconius* *ἢ εἰ καί.* *Hughes*, quem secutus est *Bengelius*, ex pluribus Mss. dedit *ἢ διὰ τί καί. L.*

8) *πλείονας.* Ambr. l. c. cap. 3. *Licet omnium hominum opera Deus in suo examinet judicio; plus tamen ab eo exigitur, cui plus committitur. ampliores enim poenas luit, cui numerosior regendorum populorum fuerit cura commissa.*

1) *ἀσεβείας.* *Sic legit Theodotion, Amos III. 2. LXX. vero,* *ἁμαρτίας.* Cant. ed. 2. [Alii etiam, ut annotavit *Montefalconius*, nostro in loco legunt *τὰς ἀδικίας. L.*]

ὑμῶν. ποτὲ δέ· Ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ
ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν.[2]) Καὶ πρὸ τῶν προ- 575
φητῶν[3]) δεῖξαι βουλόμενος, ὅτι τὰ ἁμαρτήματα μείζονα ἐκδέ-
χεται πολλῷ τὴν τιμωρίαν, ὅτ' ἂν ὑπὸ τῶν ἱερέων γίνηται,
ἢ ὅτ' ἂν ὑπὸ τῶν ἰδιωτῶν, προστάττει τοσαύτην ὑπὲρ τῶν
ἱερέων προσάγεσθαι τὴν θυσίαν, ὅσην ὑπὲρ παντὸς τοῦ λαοῦ.
τοῦτο δὲ οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ ὅτι μείζονος βοη-
θείας δεῖται τὰ τοῦ ἱερέως τραύματα, καὶ τοσαύτης, ὅσης
ὁμοῦ τὰ παντὸς τοῦ λαοῦ. μείζονος δὲ οὐκ ἂν ἐδεῖτο, εἰ μὴ[4])
χαλεπώτερα ἦν· χαλεπώτερα δὲ γίνεται, οὐ τῇ φύσει, ἀλλ'
ὑπὸ τῆς ἀξίας τοῦ τολμῶντος αὐτὰ ἱερέως βαρούμενα. Καὶ 576
τί λέγω τοὺς ἄνδρας τοὺς τὴν λειτουργίαν μετιόντας; αἱ γὰρ
θυγατέρες[5]) τῶν ἱερέων, αἷς οὐδεὶς πρὸς τὴν ἱερωσύνην λό-
γος, ὅμως διὰ τὸ πατρικὸν ἀξίωμα, τῶν αὐτῶν ἁμαρτημάτων
πολὺ πικροτέραν ὑπέχουσι τὴν τιμωρίαν· καὶ τὸ μὲν πλημμέ-
λημα ἴσον αὐταῖς καὶ ταῖς τῶν ἰδιωτῶν θυγατράσι, πορνεία
γὰρ ἀμφοτέρα, τὸ δὲ ἐπιτίμιον πολλῷ τούτων χαλεπώτερον.
ὁρᾷς μεθ' ὅσης σοι δείκνυσι τῆς περιουσίας[6]) ὁ Θεὸς, ὅτι
πολλῷ πλείονα τῶν ἀρχομένων ἀπαιτεῖ τὸν ἄρχοντα τιμωρίαν.
οὐ γὰρ δή που ὁ τὴν ἐκείνου θυγατέρα δι' ἐκεῖνον μειζόνως
τῶν ἄλλων κολάζων, τὸν καὶ ἐκείνῃ τῆς προσθήκης τῶν βα-
σάνων αἴτιον, ἴσην τοῖς ἄλλοις εἰσπράξεται δίκην, ἀλλὰ πολλῷ
μείζονα. Καὶ μάλα γε εἰκότως. οὐ γὰρ εἰς αὐτὸν περιΐσταται 577
μόνον ἡ ζημία, ἀλλὰ καὶ τὰς τῶν ἀσθενεστέρων καὶ εἰς αὐ-
τὸν βλεπόντων καταβάλλει ψυχάς. Τοῦτο καὶ ὁ Ἰεζεκιὴλ δι- 578
δάξαι βουλόμενος, διΐστησιν ἀπ' ἀλλήλων τὴν τῶν κριῶν[7])
καὶ τὴν τῶν προβάτων κρίσιν.

---

2) *εἰς ἁγιασμόν.* Amos II. 11. ubi al. εἰς ἁγνισμόν. [*Bengelius* recte vertit: *Excitavi ex adolescentibus vestris, qui sacrati essent.* Est enim apud prophetam נְזִירִים. Vid. *Schleusner.* Lexic. in LXX. Intpp. T. I, p. 23. *L.*]

3) *πρὸ τῶν προφητῶν.* In quibus Amos., citatus. Recentiores hic addunt, ἐπὶ τῶν θυσιῶν. [Habent hoc additamentum, quod glossatori originem suam debere videtur, *Hughes* et *Montefalconius.* — De re vid. Levit. IV. *L.*]

4) *εἰ μή.* Εἰ μὴ ἦν ἀντίῤῥοπος ἡ ἁμαρτία, οὐκ ἂν τὴν αὐτὴν θυσίαν ἀνάγεσθαι ἐθέσπισε. μείζων δὲ γίνεται οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀξίᾳ τοῦ δρῶντος (ἱερέως.) *Isidor. Pel.* Ep. 121. l. 2.

5) *αἱ θυγατέρες.* Vid. Levit. XXI, 9. *L.*

6) *τῆς περιουσίας.* Miror *Hughesium* et *Montefalconium,* qui legunt: ὁρᾷς, μεθ' ὅσης σοι δείκνυσιν ὑπερβολῆς. Quis non videt glossema? *L.*

7) *κριῶν.* *Hesychius,* κριός, ὁ τῶν προβάτων ἄρσην. *Basi-*

579 XII. Ἆρά σοι δοκοῦμεν λόγον ἔχοντα πεφοβῆσθαι φόβον;
πρὸς γὰρ τοῖς εἰρημένοις, νῦν [1]) μὲν εἰ καὶ πολλοῦ μοι δεῖ
πόνου, πρὸς τὸ μὴ δὴ καταγωνισθῆναι τέλεον ὑπὸ τῶν τῆς
ψυχῆς παθῶν, ἀλλ᾽ ὅμως ἀνέχομαι τῶν πόνων, καὶ οὐ φεύγω
580 τὸν ἀγῶνα. Καὶ γὰρ ὑπὸ κενοδοξίας ἁλίσκομαι μὲν καὶ νῦν,
ἀναφέρω δὲ πολλάκις· καὶ ὅτι ἑάλων, συνορῶ· [2]) ἔστι δέ,
581 ὅτε καὶ ἐπιτιμῶ τῇ δουλωθείσῃ ψυχῇ. Ἐπιθυμίαι [3]) μοι προσ-
πίπτουσιν ἄτοποι καὶ νῦν· ἀλλὰ ἀργοτέραν ἀνάπτουσι τὴν
φλόγα, τῶν ἔξωθεν ὀφθαλμῶν οὐκ ἐχόντων ἐπιλαβέσθαι
582 τῆς τοῦ πυρὸς ὕλης. [4]) Τοῦ δὲ κακῶς τὸν δεῖνα λέγειν, καὶ

---

lius M. in Ps. 28: ὁ κριὸς ἡγεμονικόν ἐστι ζῶον, καθηγούμενος τῶν προβάτων. — τοιοῦτοι καὶ οἱ τῆς ποίμνης τοῦ Χριστοῦ προεστῶτες. Unde *Smyrnenses* de Polycarpo, in ejus Martyrio: προσδεθεὶς ὥσπερ κριὸς ἐπίσημος ἐκ μεγάλου ποιμνίου εἰς προσφοράν. [Vid. *Schleusner.* l. l. T. III, p. 387. *L.*]

1) νῦν. *Jo. Pelecyus* S. I. Theologus, de Officio hominis religiosi libros tres, ut Ambrosius de Officiis Christianorum, Tullius de Officiis in communi, scripsit, ediditque Monachii A. 1622. Is l. 1. c. 7. religiosum et episcopum sic inter se comparat:- *Episcopi sunt in statu perfectionis magnae: solenniter enim se obligant ad eximia perfectionis opera, Deum ut quam maxime colant, et proximum suum in salutis procuratione juvent. opera illa continentur inprimis vitae integritate, adeoque charitate: deinde virtutibus, sine quibus forma gregis esse nequit; precibus, scientia, constantia animi, prudentia ad gubernandum. unde* Gregorius (*initio Past.*) Ars artium est regimen animarum: *et a* Dionysio (*Eccl. Hier. c. 5. et 6.*) Perfector *dicitur* episcopus. *Jam religiosus licet in statu perfectionis quoque sit, multis tamen partibus inferiori: sicut et opera imperfectiora sunt, poenitentiae scilicet, humilitatis, subjectionis, abnegationis etc. Status item perfectionis adipiscendae, in quo nemo cogitur, ut perfectus statim sit, sufficit, ut religiosus ad perfectionem aspiret, idque studeat, ut paulatim propria exercitatione fiat. Unde et ad ordinem peccatores et infirmi admittuntur, nempe ut corrigantur et perfecti efficiantur, in religionis schola etc.*

2) συνορῶ. *Ich bemerke, dass ich gefangen bin. Zuweilen schelte ich auch die in Gefangenschaft gerathene Seele.* *Ritterus.* De verbo ἐπιτιμᾷν cum tertio casu vid. *Matthiae Gr. gr. maj.* §. 384. p. 704 seq. coll. Xen. Oecon. XI, 24. Matth. XVII, 18. XIX, 13. *L.*

3) ἐπιθυμίαι. Hieronymus: *O quoties ego ipse in eremo constitutus, et in illa vasta solitudine, quae exusta Solis ardoribus horridum monachis praestat habitaculum, putabam me Romanis interesse deliciis.* Haec ille et plura in ep. ad Eustochium de Virg. serv. [Vid. *Schroeckhii chr. K. G.* T. XI, pag. 19 sqq. *L.*]

4) ὕλης. [*Absurdae cupiditates me quidem etiamnum incedunt; sed quae flammam remissiorem accendant, oculis exterioribus nullam nactis, quam corripiant, incendii materiam. L.*] Est enim etiam mentis oculus. §. 252. [Rescripsi τῶν ἔξωθεν ὀφθαλμῶν, quum antea legeretur τῶν ὀφθαλμῶν τῶν ἔξωθεν. Vid. Euseb. H. E. V, 1. βλεπόντων αὐτῶν ἐν τῷ ἀγῶνι, καὶ τοῖς ἔξωθεν ὀφθαλμοῖς

λεγόμενον ἀκούειν, ἀπήλλαγμαι παντελῶς, τῶν διαλεγομένων οὐ παρόντων· οὐ γὰρ δὴ οὗτοι οἱ τοῖχοι δύναιντ᾽ ἂν ἀφεῖναι φωνήν. Ἀλλ᾽ οὐχὶ καὶ τὴν ὀργήν [5]) ὁμοίως δυνατὸν δια- 583
φυγεῖν, καίτοι γε τῶν παροξυνόντων οὐκ ὄντων. μνήμη γὰρ πολλάκις ἀνδρῶν ἀτόπων [6]) προσπεσοῦσα καὶ τῶν ὑπ᾽ αὐτῶν γενομένων, ἐξοιδεῖν μοι τὴν καρδίαν ποιεῖ· πλὴν ἀλλ᾽ οὐκ εἰς τέλος, ταχέως γὰρ αὐτὴν φλεγμαίνουσαν καταστέλλομεν, καὶ πείθομεν ἡσυχάζειν εἰπόντες, ὅτι λίαν ἀσύμφορον [7]) καὶ τῆς ἐσχάτης ἀθλιότητος, τὰ οἰκεῖα ἀφέντας κακὰ, τὰ τῶν πλησίον περιεργάζεσθαι. ἀλλ᾽ οὐκ εἰς τὸ πλῆθος ἐλθὼν καὶ ταῖς μυρίαις ἀποληφθεὶς ταραχαῖς, δυνήσομαι ταύτης ἀπολαύειν τῆς νουθεσίας, οὐδὲ τοὺς ταῦτα παιδαγωγοῦντας λογισμοὺς εὑρεῖν. Ἀλλ᾽ ὥσπερ οἱ κατὰ κρημνῶν ὑπό τινος ῥεύ- 584
ματος ἢ καὶ ἑτέρως ὠθούμενοι, τὴν μὲν ἀπώλειαν, εἰς ἣν τελευτῶσι, προορᾶν δύνανται, βοήθειαν δέ τινα ἐπινοεῖν οὐκ ἔχουσιν· οὕτω καὶ αὐτὸς εἰς τὸν πολὺν τῶν παθῶν θόρυβον ἐμπεσὼν, τὴν μὲν κόλασιν καθ᾽ ἑκάστην αὐξομένην μοι τὴν ἡμέραν δυνήσομαι συνορᾶν, ἐν ἐμαυτῷ δὲ γενέσθαι, καθάπερ νῦν, καὶ ἐπιτιμῆσαι πάντοθεν τοῖς νοσήμασι λυττῶσι τούτοις οὐκ ἔθ᾽ ὁμοίως εὔπορον ἐμοὶ, καθάπερ καὶ πρότερον. [8]) Ἐμοὶ 585
γὰρ ψυχή τις ἐστὶν ἀσθενὴς καὶ μικρὰ, καὶ εὐχείρωτος οὐ τούτοις μόνον τοῖς πάθεσιν, ἀλλὰ καὶ τῷ πάντων πικροτέρῳ φθόνῳ· καὶ οὔτε ὕβρεις, οὔτε τιμὰς μετρίως ἐπίσταται φέρειν, ἀλλὰ μεθ᾽ ὑπερβολῆς ἐκεῖναί τε ἐπαίρουσιν αὐτὴν, καὶ

κτλ. Cf. Chrysost. T. XII, p. 393 B., ubi τοῖς ἔξωθεν ὀφθαλμοῖς opponuntur τὰ ἔνδοθεν ὄμματα. Sunt vero οἱ ἔξωθεν ὀφθαλμοὶ, quae a Cyrill. Alex. L. X. in Joh. p. 838 vocantur σαρκικοὶ ὀφθαλμοί. Vid. *Suicer*. Thes. Eccl. T. II, p. 530. *L.*]

5) ὀργήν. Ergo quod Chrysostomo adversarii sui vitio dederunt, id ipse prius agnorat probe. ingenuas ejus de sese confessiones notavimus p. 368. 369. Temperamentum hominis cholericum, per Gratiam vere temperatum, modestia juxta ac zelo permixtum, pulchre describit *Diss. Argentin. cit.*

6) ἀνδρῶν ἀτόπων. Vet. int. *virorum indisciplinate viventium.*

7) ἀσύμφορον. Sic Augustanus, et apud *Montef.* alii. Editi, ἀσύμφωνον, ex glossa. Conf. *Gregorii* Paneg. sect. 44. cum annot. Hesychius, ἀσύμφορον, τὸ μὴ συμφέρον ἢ πρέπον, καὶ ἀπρόσφορον. [*Hasselbachius* praetulit ἀσύμφωνον, ut mihi videtur, sine idonea causa. *L.*]

8) ἐμοὶ, καθάπερ καὶ πρότερον. Omittunt haec alii, hiatu proclivi ex ἐμοὶ recurrente. Antitheton, νῦν et πρότερον.

686 ταπεινοῦσιν αὗται. 9) Ὥσπερ οὖν θηρία χαλεπὰ, ὅτ᾽ ἂν μὲν
εὐσωματῇ καὶ σφριγᾷ, 10) τῶν πρὸς αὐτὰ μαχομένων κρατεῖ,
καὶ μάλιστα, ὅτ᾽ ἂν ἀσθενεῖς ὦσι καὶ ἄπειροι· εἰ δέ τις αὐτὰ
λιμῷ κατατήξειε, τόν τε θυμὸν αὐτοῖς ἐκοίμισε, καὶ τῆς δυ-
νάμεως τὸ πλέον ἔσβεσεν, ὡς καὶ τὸν μὴ λίαν γενναῖον ἀνα-
δέξασθαι τὸν πρὸς ταῦτα ἀγῶνα καὶ πόλεμον· οὕτω καὶ τὰ
πάθη τῆς ψυχῆς, ὁ μὲν ἀσθενῆ ποιῶν, ὑπὸ 11) τοῖς ὀρθοῖς
αὐτὰ τίθησι λογισμοῖς· ὁ δὲ τρέφων ἐπιμελῶς, χαλεπωτέραν
αὐτῷ τὴν πρὸς αὐτὰ καθίστησι μάχην, καὶ οὕτως αὐτῷ 12)
φοβερὰ ταῦτα ἀπεργάζεται, ὡς ἐν δουλείᾳ καὶ δειλίᾳ τὸν
687 πάντα χρόνον βιοῦν. Τίς οὖν τῶν θηρίων τούτων ἡ τροφή;
κενοδοξίας 13) μὲν, τιμαὶ καὶ ἔπαινοι· ἀπονοίας δὲ, ἐξουσίας
καὶ δυναστείας μέγεθος· βασκανίας δὲ, αἱ τῶν πλησίον εὐδο-
κιμήσεις· φιλαργυρίας, αἱ τῶν παρεχόντων φιλοτιμίαι· ἀκολα-
σίας, τρυφὴ καὶ αἱ συνεχεῖς τῶν γυναικῶν ἐντεύξεις· καὶ ἑτε-

---

9) *ἐκεῖναι· αὗται.* *Ille* et *hic* interdum ad momentum rei prae verborum serie pertinet. §. 209. et hoc loco Chrysostomus notat, praesentiores sibi esse *ὕβρεις*, quam *τιμάς*. §. 589. [*Hughes* male scripsit *αὗταί τε ἐπαίρουσιν αὐτὴν, καὶ ταπεινοῦσιν ἐκεῖναι.* Saepissime enim *ἐκεῖνος* ad propinquius, *οὗτος* ad remotius pertinet. Cf. *Fischer* ad *Weller*. I, p. 329. *Herm.* ad Soph. Ajac. v. 1018. *Bornemann* ad Xenoph. Sympos. II, 25. Eodem modo apud Latinos usurpari *hic* et *ille*, jam monuit *Bengel*. Cf. Ovid. Trist. I, 2, 23. Propert. III, 14. *L.*]

10) *εὐσωματῇ καὶ σφριγᾷ.* *Aristoph. in Nub. v. 797. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ. Vide Suidam. — constat ex his de Sac. libris, praecipue vero ex Homiliis, Chrysostomum et lectitasse Aristophanem, et imitari solitum fuisse.* Cant. ed. 2. Sic, *σφριγῶσαν*, §. 125. *νέος καὶ σφριγῶν.* Hom. 20. ad pop. Ant. Corrigamus *Ephraimi Syri* locum, juventuti saluberrimum. *εἰ γὰρ ἔτι νεωτέρου σου ὑπάρχοντος, καὶ τῆς ἡλικίας σου φριγώσης* (leg. *σφριγώσης*) *ὅτε δύνῃ ὑπομεῖναι πάντα πόνον καὶ ἄσκησιν φέρειν, οὐ μετανοεῖς· ἐὰν γηράσῃς, οὐ τὴν ἀδυναμίαν τοῦ γήρους προφασίζῃ.* fol. *ος´* ed. Oxon. [*Εὐσωματεῖν* et *σφριγᾷν* conjunxit Chrysostomus etiam T. I, p. 64 E. VI, p. 33 A., ubi etiam *κομᾷν* additur. Cf. *Matthaei Joh. Chrysostomi Homiliae IV.* homilia III, not. 3. *L.*]

11) *ὑπό.* *Ὑποχείρια.* Savil. i. e. *subjecta.* [Et haec *Savilii* lectio Ducaeanae lectioni, quae in textu est, praeferenda videtur. *Hughes* quoque legit *ὑποχείρια.* *L.*]

12) *αὐτῷ φοβερά.* Palat. Cod. habet *ἑαυτῷ*, *Montef.* *αὐτῷ.* Non inepte nonnullos etiam pro *φοβερὰ* legere *φοβερώτερα*, annotavit *Montefalconius.* *L.*

13) *κενοδοξίας· ἀπονοίας.* Hinc patet horum verborum differentia. Conf. §. 170. 164 [Multum sane differunt haec vocabula, et quidem plane ut verba vernacula: *Eitelkeit* et *Hochmuth.* Nimirum *ἀπόνοιαν* apud Chrysost. saepe de arrogantia et superbia dici, pluribus locis confirmavit *Matthaei* l. l. Homil. III, not. 174. *L.*]

ρον ἑτέρου. Πάντα δὲ [14]) ταῦτα εἰς μὲν τὸ μέσον ἐλθόντι 588
σφοδρῶς ἐπιθήσεται καὶ σπαράξει μοι τὴν ψυχὴν, καὶ φοβερὰ [15])
ἔσται, καὶ χαλεπώτερόν μοι τὸν πρὸς αὐτὰ ποιήσει πόλεμον.
ἐνταῦθα δὲ καθημένῳ, μετὰ πολλῆς μὲν καὶ οὕτως ὑποταγή-
σεται τῆς βίας· ὑποταγήσεται δ᾽ οὖν ὅμως τῇ τοῦ Θεοῦ χά-
ριτι, καὶ τῆς ὑλακῆς αὐτοῖς οὐδὲν ἔσται πλέον. [16]) Διὰ ταῦτα 589
τὸν οἰκίσκον φυλάττω [17]) τοῦτον, καὶ ἀπρόϊτος, [18]) καὶ ἀσυν-
ουσίαστος, καὶ ἀκοινώνητος· καὶ μυρίας ἑτέρας τοιαύτας μέμ-
ψεις ἀκούειν ἀνέχομαι, ἡδέως μὲν ἂν αὐτὰς ἀποτριψάμενος,
τῷ δὲ μὴ δύνασθαι δακνόμενος καὶ ἀλγῶν. οὐδὲ γὰρ εὔπορόν
μοι, ὁμιλητικόν τε ὁμοῦ γενέσθαι, καὶ ἐπὶ τῆς παρούσης ἀσφα-
λείας μένειν. Δι᾽ ὃ καὶ αὐτὸν σὲ παρακαλῶ, τὸν ὑπὸ τοσ-
αύτης δυσχερείας ἀπειλημμένον ἐλεεῖν μᾶλλον, ἢ διαβάλλειν.

Ἀλλ᾽ οὐδέπω σε πείθομεν. οὐκοῦν ὥρα [19]) λοιπὸν, ὃ μό- 590
νον εἶχον ἀπόῤῥητον, πρὸς σὲ καὶ τοῦτο ἐκβαλεῖν. Καὶ
ἴσως [20]) μὲν ἄπιστον εἶναι δόξει πολλοῖς· ἐγὼ δὲ αὐτὸ οὐδὲ
οὕτως εἰς μέσον ἐνεγκεῖν αἰσχυνθήσομαι. εἰ γὰρ καὶ πονηρᾶς
συνειδήσεως, καὶ μυρίων ἁμαρτημάτων ἔλεγχος τὸ λεγόμενον·
τοῦ [21]) μέλλοντος ἡμᾶς κρίνειν Θεοῦ πάντα εἰδότος ἀκριβῶς,
τί πλέον [22]) ἡμῖν ἐκ τῆς τῶν ἀνθρώπων ἀγνοίας ἐγγενέσθαι
δυνήσεται; Τί οὖν ἐστι τὸ ἀπόῤῥητον; ἀπὸ τῆς ἡμέρας ἐκεί- 591
νης, ἐν ᾗ ταύτην ἐνέθηκάς μοι τὴν ὑποψίαν, [23]) πολλάκις
ἐκινδύνευσέ μοι παραλυθῆναι τὸ σῶμα τέλεον, τοσοῦτος μὲν

---

14) *δέ.* Fort. δή. vet. int. *ergo.*

15) *φοβερά.* Tres Cdd. teste *Hughesio* habent φοβερώτερα. Confirmatur haec lectio Vet. Interpr., qui reddidit: *horribiliora.* *L.*

16) *πλέον.* *Sie werden mir nichts thun können, als mich anbellen.* **Ritter.**

17) *τὸν οἰκίσκον φυλάττειν.* Germ. *das Haus hüten.*

18) *ἀπρόϊτος.* Al. ἀπρόσιτος, passive. melius activum, ἀπρόϊτος. adde *Scapulae* Indicem.

19) *ὥρα.* Al. ὥρα μοι· al. ὥρα σοι. nil horum insolens; brevior tamen lectio media, genuina. [*Hasselbachius* vertit: *So ist es denn für mich Zeit nunmehr*, et annotavit, se legisse ὥρα μοι, quae lectio, ab ipso *Montefalconio* servata, vera sane videtur. *L.*]

20) *καὶ ἴσως.* Suspensum tenet amicum, dum arcanum expromit.

21) *τοῦ.* Articulus, nota subjecti.

22) *τί πλέον.* Remedium dissimulationis.

23) *ὑποψίαν.* De qua §. 26. — *Ἐκινδύνευσε.* *Usus hujus verbi elegantissimus.* Franc. Portus. [Parum abfuit, quin meum corpus totum concideret. *L.*]

592 φόβος, τοσαύτη δὲ ἀθυμία κατέσχέ μου τὴν ψυχήν. Τῆς γὰρ Χριστοῦ νύμφης [24]) τὴν δόξαν ἐννοῶν, τὴν ἁγιωσύνην, τὸ κάλλος τὸ πνευματικὸν, τὴν σύνεσιν, τὴν εὐκοσμίαν, καὶ τὰ ἐμαυτοῦ λογιζόμενος κακά· οὐ διελίμπανον ἐκείνην τε πενθῶν καὶ ἐμαυτὸν, [25]) καὶ στένων συνεχῶς καὶ διαπορῶν πρὸς
593 ἐμαυτὸν ἔλεγον· Τίς ἄρα ταῦτα συνεβούλευσε; τί τοσοῦτον ἥμαρτεν ἡ τοῦ Θεοῦ ἐκκλησία; τί τηλικοῦτο παρώξυνε τὸν αὐτῆς Δεσπότην, ὡς τῷ πάντων ἀτιμοτάτῳ παραδοθῆναι ἐμοί,
594 καὶ τοσαύτην ὑπομεῖναι αἰσχύνην; Ταῦτα πολλάκις κατ᾿ ἐμαυτὸν λογιζόμενος, καὶ τοῦ λίαν ἀτόπου μηδὲ τὴν ἐνθύμησιν δυνάμενος ἐνεγκεῖν, ὥσπερ οἱ παραπλῆγες ἐκείμην ἀχανὴς, [26]) οὔτε ὁρᾶν οὔτε ἀκούειν τι δυνάμενος. τῆς δὲ ἀμηχανίας με τῆς τοσαύτης ἀφιείσης, καὶ γάρ ἐστιν, ὅτε [27]) καὶ ὑπεξίστατο, διεδέχετο δάκρυα καὶ ἀθυμία· καὶ μετὰ τὸν τῶν δακρύων κόρον ἀντεισῄει πάλιν ὁ φόβος, ταράττων καὶ θο-
595 ρυβῶν καὶ διασείων μοι τὴν διάνοιαν. Τοσαύτῃ ζάλῃ τὸν παρελθόντα συνέζων χρόνον· σὺ δὲ ἠγνόεις, καὶ ἐν γαλήνῃ με διάγειν ἐνόμιζες. ἀλλὰ νῦν σοι ἀποκαλύψαι πειράσομαι τὸν χειμῶνα τῆς ἐμῆς ψυχῆς· τάχα γάρ μοι καὶ ἀπὸ τούτου συγγνώσῃ, τὰ ἐγκλήματα ἀφείς. Πῶς οὖν σοι, πῶς αὐτὸν ἐκκαλύψομεν; εἰ μὲν σαφῶς ἐθέλοις ἰδεῖν, ἑτέρως οὐκ ἐνῆν, ἀλλ᾿ ἢ τὴν καρδίαν ἀπογυμνώσαντα [28]) τὴν ἐμήν. ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, δι᾿ ἀμυδρᾶς τινος εἰκόνος, ὡς ἂν οἷός τε ὦ, πει-

---

24) *νύμφη*. Patres ecclesiam Christi tum *παρθένον* (cf. *Suicer. Thes. Eccl.* T. II, p. 596.) tum *νύμφην* nominare amant. Vid. Ammonius in catena in cap. 3. Joh. p. 108. *Διὰ τοῦ βαπτίσματος νυμφεύεται ὁ Χριστὸς τὴν ἐκκλησίαν ἀναγεννηθεῖσαν. Ἡ συζυγία αὕτη πνευματικὴ διὰ τοῦ διδασκαλικοῦ λόγου συνάπτει θεῷ. Παρθένος δ᾿ ἐστὶ καὶ ἁγνὴ ἡ νύμφη, διὰ τὴν τῶν δογμάτων ὀρθότητα· ἡ αὐτὴ καὶ γυνὴ ἐστὶ τοῦ Χριστοῦ, ὡς ἀγαθὰς γεννῶσα πράξεις, οὐκ ἀφ᾿ ἑαυτῆς, ἀλλὰ διὰ τοῦ ἐνσπείροντος ἐν αὐτῇ Χριστοῦ. — Νύμφιός ἐστιν ὁ Χριστὸς, καὶ ἡ ἐκκλησία νύμφη, καὶ ὁ νυμφὼν ὁ τόπος τοῦ βαπτίσματος, ἔνθα γίνεται ἡ πνευματικὴ συνάφεια, ἐπειδὴ πάντα φαιδρὰ καὶ χαρᾶς ἀνάμεστα καὶ εὐφροσύνης.* Cf. *Heinichen.* ad Euseb. H. E. X, 4, 42.

25) *ἐμαυτόν. Ταλανίζων* addit Palatinus. [Et receperunt hoc verbum *Hughes* et *Montefalconius*. Non male. *L.*]

26) *ἀχανὴς* explicat Hesychius per: *ἄφθογγος, ἄφωνος, μὴ ἀνοίγων στόμα.* Ita usurpatur etiam h. l. Cf. T. II, p. 115 D. et *Matthaei Chrysost. Homiliae IV.* etc. homil. II, not. 53. *L.*

27) *ἔστιν ὅτε.* Sic, *ἔστι ὅπου.* §. 478. *ἔχειν ὅποι.* §. 105.

28) *ἀπογυμνώσαντα.* Augustanus, *ἀπογυμνώσαντι.* utrumque stat cum *ἔνεστι.* [Et statim ante legit *Savil.* *ἑτέρως οὐκ ἂν εἴη, ἀλλ᾿* —. *L.*]

ράσομαί σοι τὸν τῆς ἀθυμίας τέως ὑποδεῖξαι καπνόν· σὺ [29])
δὲ ἐκ τῆς εἰκόνος τὴν ἀθυμίαν συλλέγειν μόνην. [30]) Ὑποθώ- 596
μεθα [31]) εἶναί τινι μνηστὴν τοῦ πάσης τῆς ὑφ' ἡλίῳ [32]) κει-
μένης γῆς βασιλεύοντος θυγατέρα· ταύτην τε τὴν κόρην κάλ-
λος τε ἔχειν ἀμήχανον, οἷον καὶ τὴν ἀνθρωπείαν ὑπερβαίνειν
φύσιν, καὶ τούτῳ τὸ τῶν γυναικῶν ἁπασῶν φῦλον ἐκ πολ-
λοῦ τοῦ διαστήματος νικᾶν· καὶ ψυχῆς ἀρετὴν τοσαύτην, ὡς
καὶ τὸ τῶν ἀνδρῶν γένος, τῶν τε γενομένων τῶν τε ἐσομένων
ποτὲ, πολλῷ τῷ μέτρῳ κατόπιν ἀφεῖναι· καὶ πάντας μὲν
ὑπερβῆναι φιλοσοφίας [33]) ὅρους τῇ τῶν τρόπων εὐκοσμίᾳ,
πᾶσαν δὲ κρύψαι σώματος ὥραν τῷ τῆς οἰκείας ὄψεως κάλ-

---

29) *σὺ — συλλέγειν.* Infinitivum, praesertim *σὺ* praecedente, non solum poetae, sed etiam alii, loco imperativi ponunt. Morata enallage, nata ex ellipsi, supplenda verbo *σπεῦσον, θέλε, κελεύω, χρή.* qua figura hodie Itali quoque, in oratione negante, delectantur. Vid. *Apollon. Al.* p. 84. 85. 231. ed. Sylb. *Eustath.* passim, *Aem. Porti* Lexicon. Ion. *Fr. Vergara* l. 3. Gramm. Gr. c. 10. *H. Steph.* de Dial. Att. p. 47. *Glass.* l. 3. tr. 3. can. 44. n. 3. *J. Gronov.* ad Arrian. l. 5. *Heupel.* de Dialect. Gr. Canon. 116. 240. 334. *Bos.* ellips. Graec. *Raphelii* Annot. ad Luc. 22, 42. ex Arriano. Ex quibus huic loco maxime congrua notamus. Hom. Il. *Δ. σὺ δὲ θᾶσσον ἀθηναίῃ ἐπιτεῖλαι.* ubi scholiastes vetus: *ἀπαρέμφατον, ἀντὶ προστακτικοῦ ἐπίτειλον.* Thucydides, *σὺ δὲ, κλεαρίδα, αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεξθεῖν.* Herodotus, *σὺ δέ μοι ἐπὶ τὴν ἑλλάδα στρατεύεσθαι.* Fit autem persaepe, ut librarii elegantiam, quam non capiunt, corrigant scilicet, alius huc, alius illuc euntes: quod huic quoque loco accidit, ubi alius *σὺ — σύλλεγε,* alius *σοὶ — ἔνεστι συλλέγειν* substituit. Talium locorum media fere lectio pro genuina; extremae, ob id ipsum, qui faciliores, pro glossis habendae sunt. Vide Not. ad §. 21. 28. 42. 67. 120. 222. 265. 267. 273. 293. 297. 355. 369. 400. 407. 413. 494. 590. 618. Quare hic quoque medium *σὺ — συλλέγειν* tenendum. nam in Augustano librarius cum *σὺ* scripsisset, *σὺ* mutavit in *σοὶ*, et subjecit *ἔνεστι συλλέγειν*, non temere mutaturus, nisi in antiquiore, quo erat usus, exemplari *σὺ συλλέγειν* legisset; perinde ut in suo quoque Graeco vetus int. qui vertit, *tu vero memento ostendere.* Sane ipsum quoque *μνήσθητι, memento,* in hoc loquendi genere sunt qui aliàs suppleant. [Lectio exquisitior sine dubio ea, quae in textu est, et miror *Montefalconium* et *Hasselbachium*, quorum uterque habet *τ. α. σύλλεγε μόνην.* Similis locus est apud Thucyd. VI, 34. *καὶ παραστῆναι παντὶ τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας κτλ.*, ubi, teste *Goellero*, quatuor Cdd. habent imperativum *παραστήτω.* Caeterum infinitivum interdum apud Graecos pro imperativo esse, docuerunt *Matthiae* Gr. Gr. p. 785 et *Fischer.* ad *Weller.* III, 2, p. 27. *L.*]

30) *τὴν ἀθυμίαν μόνην.* Antitheton, *καὶ τοῦ φόβου.* §. 599.

31) *ὑποθώμεθα.* Hypothesis et descriptio egregia.

32) *ὑφ' ἡλίῳ.* Ed. prima, *ὑφήλιον.* [*Savil.* et *Montef.* non male *ὑφ' ἥλιον. L.*]

33) *φιλοσοφίας.* Conf. §. 315.

597 λει. τὸν δὲ ταύτης μνηστῆρα, μὴ διὰ ταῦτα μόνον περικαίε-
σθαι τῆς παρθένου, ἀλλὰ καὶ χωρὶς τούτων πάσχειν τι πρὸς
αὐτὴν, καὶ τῷ πάθει τούτῳ τοὺς μανικωτάτους [34]) τῶν πώ-
598 ποτε γενομένων ἀποκρύψαι [35]) ἐραστῶν. εἶτα μεταξὺ [36]) τῷ
φίλτρῳ [37]) καιόμενον ἀκοῦσαί ποθεν, ὅτι τὴν θαυμαστὴν ἐρω-
μένην ἐκείνην τῶν εὐτελῶν τις καὶ ἀπεῤῥιμμένων ἀνδρῶν, δυσ-
γενὴς καὶ τὸ σῶμα ἀνάπηρος καὶ πάντων τῶν ὄντων μοχθη-
599 ρότατος, μέλλοι πρὸς γάμον ἀγαγέσθαι. [38]) Ἆρά σοι μικρόν
τι μέρος τῆς ἡμετέρας ὀδύνης παρεστήσαμεν; καὶ ἀρκεῖ μέχρι
τούτου στῆσαι τὴν εἰκόνα; τῆς μὲν ἀθυμίας ἕνεκεν ἀρκεῖν οἶ-
μαι· καὶ γὰρ διὰ τοῦτο μόνον αὐτὴν παρειλήφαμεν. Ἵνα δέ
σοι καὶ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως ὑποδείξω τὸ μέτρον·
600 ἐφ' ἑτέραν πάλιν ἴωμεν [39]) ὑπογραφήν. καὶ ἔστω στρατόπε-

---

34) *μανικωτάτους.* Verbum *μέσον*, ut *insanus*. [Bene egit de hoc adjectivo **Sturzius** in Lex. Xenoph. III, p. 97, quem vide. *L.*]

35) *ἀποκρύψαι.* Ita *Seneca* de Caecina: *Habuisset aliquod in eloquentia nomen, nisi illum Ciceronis* umbra *pressisset.*

36) *μεταξὺ — καιόμενον.* *Μεταξὺ* cum participio adverbiascit. [Vid. *Viger.* p. 418 et *Passow* in Lex. *L.*]

37) *φίλτρον* proprie quidem est *poculum amoris*. Sed metaphorice ita dicitur *quicquid conciliandi amoris vim habet.* Sic legitur apud Xenoph. Memorr. II, 3, 11. 14., ubi agitur de fratris amore conciliando. Cf. Memorr. II, 6, 10. III, 11, 16. 17. H. l. omnino vertendum: *Ponamus, illum amore flagrantem alicunde audivisse,* etc. *L.*

38) *πρὸς γάμον ἀγαγέσθαι.* Vetus int. *sit accepturus in conjugem.* et in eandem sententiam recentiores. ut de paranympho accipi res postulat. nam ecclesiae minister est Sponsi amicus. Joh. 3, 29. coll. 2. Cor. 11, 2. Neque obstat Medium *ἀγαγέσθαι*, pro *ἄγειν*. Omnino uti *ἀνάγεσθαι σύνοικον* notat *ducere uxorem*, apud Herodotum; sed *ἀνάγειν* est *jungere alteri*, ut Herodianus de Heliogabalo: *Palladem deo suo in regiam πρὸς γάμον ἀνήγαγε conjugem adduxit*: atque uti *ποιεῖσθαι ἄκοιτιν* (observante *Kustero* de verb. mediis p. 53.) apud Hesiodum dicitur de *viro*, *qui uxorem sibi ducit;* at *ποιεῖν τινι ἄκοιτιν*, apud Homer. Il. Ω. v. 537. est *alteri uxorem jungere*, *dare vel conciliare:* sic *πρὸς γάμον ἄγεσθαι* fere dicitur *is ipse*, *qui ducit*, ut obviis constat exemplis; *ἄγειν* autem, *qui ad sponsum adducit speratam*, apud Pollucem l. 3. *ὁ δὲ ἄγων τὴν νύμφην ἐκ τῆς τοῦ πατρὸς οἰκίας, νυμφαγωγός.* Veruntamen Chrysostomus verbum medium *ἀγαγέσθαι* paranympho eadem notione, ac Paulus l. c. sibi *ἁρμόζομαι*, quod alias item de ipso sponso dicitur, tribuere potuit: ut utrumvis notet *sua manu deducere verbis sponsi obsequentem sponsam.* nam etiam pater sponsi *ἄγεσθαι* dicitur Plutarcho: *τῷ δὲ υἱῷ τὴν σκιπίωνος ἀδελφὴν ἠγάγετο πρὸς γάμον.*

39) *ἴωμεν.* *Εἶμι, vado.* rarum simplex, in prosa. sed hinc etiam *ἴθι*, §. 271. Plato, *εἶσι*, *vadit.* Adde Herodianum.

δον ἐκ πεζῶν καὶ ἱππέων καὶ ναυμαχῶν 40) συνειλεγμένον ἀν-
δρῶν· καὶ καλυπτέτω μὲν τὴν θάλατταν ὁ τῶν τριήρων ἀρι-
θμὸς, καλυπτέτωσαν δὲ τὰ τῶν πεδίων πλήθη καὶ τὰς τῶν
ὀρῶν κορυφὰς αἱ τῶν πεζῶν καὶ ἱππέων φάλαγγες· 41) καὶ ἀν- 601
τιλαμπέτω 42) μὲν ἡλίῳ τῶν ὅπλων ὁ χαλκὸς, καὶ ταῖς ἐκεῖ-
θεν πεμπομέναις ἀκτῖσιν ἡ τῶν περικεφαλαιῶν καὶ τῶν ἀσπί-
δων ἀνταφιέσθω 43) μαρμαρυγή· ὁ δὲ τῶν δοράτων κτύπος
καὶ ὁ τῶν ἵππων χρεμετισμὸς πρὸς αὐτὸν φερέσθω τὸν οὐ-
ρανόν· καὶ μήτε θάλασσα φαινέσθω μήτε γῆ, ἀλλὰ χαλκὸς
καὶ σίδηρος πανταχοῦ. Ἀντιπαρατεττέσθωσαν δὲ αὐτοῖς καὶ 602
πολέμιοι, ἄγριοί τινες ἄνδρες καὶ ἀνήμεροι· ἐνεστηκέτω δὲ ἤδη
καὶ ὁ τῆς συμβολῆς καιρός. Εἶτα ἁρπάσας τὶς ἐξαίφνης μει- 603
ράκιον τῶν ἐν ἀγρῷ τραφέντων καὶ τῆς πηκτίδος 44) καὶ τῆς
καλαύροπος 45) πλέον εἰδότων οὐδὲν, καθοπλιζέτω μὲν αὐτὸ
ὅπλοις χαλκοῖς, περιαγέτω δὲ τὸ στρατόπεδον ἅπαν, καὶ δει- 604
κνύτω λόχους 46) καὶ λοχαγοὺς, τοξότας, σφενδονήτας, τα-

---

40) *ναυμαχῶν*. Sic Augustanus, a *ναυμάχης*. *ναυμάχων*, edd. a *ναυμάχος*. Conf. §. 400. not. [Contegant camporum spatia et montium cacumina peditum legiones et equitum. *L.*]

41) *φάλαγγες*. Catachresis, non male decens adolescentem de re militari, cum ipse miles non sit, loquentem. Eam imitamur in Latino. nam et *phalanx* et *legio* peditum est, non etiam equitum.

42) *ἀντιλαμπέτω*. Par *Heliodori* verbum: *χρυσοῦφοῦς τῆς ἐσθῆτος πρὸς τὸν ἥλιον ἀνταυγαζούσης*.

43) *ἀνταφιέσθω*. Ed. prima, *καταφειέσθω*. Minus notum *καταφίημι*.

44) *πηκτίδος*. Veterum interpretes alii *fistulam* vertunt, alii *lyram;* cautissimi, *pectidem*. Vide, si quid refert, Hesychium, Athenaeum, Aristotelem in Politicis. Luciano in Dial. Doridis et Galateae *πηκτὶς* et *λύρα* tantundem. Conf. Synesii Ep. 148. [Vid. Herodot. I, 17. Athen. XIV, p. 635 E. *L.*]

45) *καλαύροπος*. *Unus*, *καλαυρόπης*. *Montef. In Cod. Margunii καλαυρόπης legitur, quod alibi vix reperias. sed illo semel usus est Homerus Il. ψ.* [v. 845.] *Lucianus dialogo θεῶν κρίσις*. [Diall. Mortt. XX, 7. *L.*] *Nonnus Paraphr.* c. 21. *Joann. Idem in Dionysiacis lib.* 1. *et l.* 34, *hoc versu: εἰροπόκων ἴθυνε καλαύροπι πώεα μήλων. Hoeschelius. Καλαύροπον* quoque dicitur, Hesychio *ξύλον, ᾧ τοὺς βόας βάλλουσιν, καλαῦροψ ποιμενική*. sic enim corrigenda ed. Aldi, cui *Καλάβρωψ, ποιμενικὴ* divisum facit articulum. Etymon, Eustathio, *κᾶλον αὖ ῥέπον*, lignum retro vergens, in summo repandum. quale etiam *Pedum* episcopi. [Vid. *Passow* in Lex. *L.*]

46) *λόχους κτλ. Orbicius: Ὁ μὲν τῶν πέντε καὶ εἴκοσι ἀνδρῶν ἀριθμὸς καλεῖται λόχος, ὁ δὲ ἄρχων λοχαγός. ὁ τῶν ἑκατὸν, τάξις καὶ ταξίαρχος. τὸ πεζικὸν ἅπαν στράτευμα, φάλαγξ, καὶ ὁ ἡγούμενος, στρατηγός*. [Diversus erat pro gentibus et temporibus

ξιάρχους, στρατηγοὺς, ὁπλίτας, ἱππέας,[47] ἀκοντιστὰς, τριή-
ρεις, τριηράρχους, τοὺς ἐκεῖ πεφραγμένους στρατιώτας, τῶν
605 ἐν ταῖς ναυσὶν ἀποκειμένων μηχανημάτων τὸ πλῆθος· δεικνύτω
δὲ καὶ τὴν τῶν πολεμίων παράταξιν ἅπασαν, καὶ ὄψεις ἀπο-
τροπαίους τινὰς, καὶ σκευὴν ὅπλων ἐξηλλαγμένην, καὶ πλῆ-
θος ἄπειρον, καὶ φάραγγας καὶ κρημνοὺς βαθεῖς καὶ δυσχω-
606 ρίας ὁρῶν· δεικνύτω δὲ ἔτι παρὰ τοῖς ἐναντίοις καὶ πετομέ-
νους ἵππους διά τινος μαγγανείας,[48] καὶ ὁπλίτας δι' ἀέρος
607 φερομένους, καὶ πάσης γοητείας δύναμίν τε καὶ ἰδέαν. Κατα-
λεγέτω δὲ καὶ τὰς τοῦ πολέμου συμφοράς· τῶν ἀκοντίων τὸ
νέφος, τῶν βελῶν τὰς νιφάδας, τὴν πολλὴν ἀχλὺν ἐκείνην καὶ
τὴν ἀορασίαν, τὴν ζοφωδεστάτην νύκτα, ἣν τὸ τῶν τοξευμά-
των συνίστησι πλῆθος, ἀποστρέφον τῇ πυκνότητι τὰς ἀκτῖνας,
τὴν κόνιν οὐχ ἧττον τοῦ σκότους τοὺς ὀφθαλμοὺς ἀμαυροῦ-
σαν, τοὺς τῶν αἱμάτων χειμάῤῥους, τῶν πιπτόντων τὰς οἰ-
μωγὰς, τῶν ἑστώτων τοὺς ἀλαλαγμοὺς,[49] τῶν κειμένων τὰς
σωρείας, τροχοὺς αἵματι βαπτιζομένους,[50] ἵππους αὐτοῖς

---

militum, qui ad lochum pertinebant, numerus. Scholiastes Aristoph. Acharnn. 1073. v. c. et Aelian. tact. 4. et Suidas dicunt, *λόχῳ* contineri vel octo, vel duodecim, vel sedecim milites. Sed Schol. Thucyd. V, 66. *ὁ λόχος*, inquit, *γίνεται ἀνδρῶν πεντακοσίων καὶ δυοκαίδεκα*, sc. tempore belli Peloponnesiaci. Cf. *Potter. Archaeolog.* II, 109. 129. et *Funke Neues Real-Schullexicon.* T. III, p. 213. *L.*]

47) *ἱππέας*, Attice. vide *Photium*. [Cf. etiam Thom. Magistr. in v. *ἑρμηνέας*. *Fischer.* ad Weller. T. I, p. 211. *Zeune* ad Xenoph. Cyrop. I, 1, 2. et *Koeppen* ad Platon. Alcibiad. II. cap. I, pag. 82. *L.*]

48) *μαγγανείας*, *Ostendat equos per praestigias quasdam involantes.* Similis locus est apud Euseb. H. E. VI, 43. *αἰφνίδιον ἐπίσκοπος ὥσπερ ἐκ μαγγάνου τινὸς εἰς τὸ μέσον ῥιφθεὶς ἀναφαίνεται.* Chron. Alexand. p. 290. *μηχαναῖς πολλαῖς χρησάμενοι, μαγγανικὰ δὲ παντοῖα.* *L.*

49) *ἀλαλαγμούς.* *Ἀλαλαγμός ἐστιν ἐπινίκιος ἐν πολέμῳ κρότος. ἄλλο γὰρ ὀλολυγμὸς, καὶ ἄλλο ἀλαλαγμός. ὅταν γὰρ μετὰ νίκης ἐν πολέμῳ στρατιῶται βοῶσιν, ἀλαλαγμός ἐστιν ἐκεῖνος καὶ σήμαντρον νίκης. κτλ.* Homil. in Ps. 95. longa hic videtur esse Glossa, nobis quidem non inutilis. [Vid. *Spanhem.* ad Julian. p. 233 sq. et *Henr, Aug. Zeibich.* in praefatione ad *Joh. Chr, Weidlingii Εὐριπίδην τετραχηλισμένον. Gerae* 1758. 8. *L.*]

50) *βαπτιζομένους.* *Βαπτίζεσθαι* dicitur non modo id, quod in undas immittitur, sed etiam id, cui liquor affatim superfunditur. Aristophanes apud Athenaeum, *ἀφῆκε βαπτίσας. dimisit me vino obrutum.* Germ. *gedecket.* Proclus at Plat. *ὅτε τὸ ἐπιθυμητικὸν ὑπὸ τῆς γενεσιουργοῦ καταχλυζόμενον ὑγρότητος ἐκνευρίζεται καὶ βαπτίζεται τοῖς τῆς ὕλης ῥεύμασι.* Unde metaphora. v. gr. Hom. 14. in

*ἀναβάταις πρηνεῖς φερομένους ἀπὸ τοῦ πλήθους τῶν κειμένων
νεκρῶν, τὴν γῆν φύρδην ἅπαντα ἔχουσαν, αἷμα καὶ τόξα καὶ
βέλη, ἵππων ὁπλὰς καὶ ἀνθρώπων κεφαλὰς ὁμοῦ κειμένας,
καὶ βραχίονα καὶ τροχὸν, καὶ κνημῖδα* [51]) *καὶ στῆθος διακο-
πὲν, ἐγκεφάλους ξίφεσι προσπεπλασμένους,* [52]) *ἀκίδα βέλους
ἐκκεκλασμένην καὶ ὀφθαλμὸν ἔχουσαν ἐμπεπερονημένον.* [53]) *κα-* 608
ταλεγέτω καὶ τὰ τοῦ ναυτικοῦ πάθη· τριήρεις [54]) *τὰς μὲν ἐν
μέσοις ἀναπτομένας τοῖς ὕδασι, τὰς δὲ αὐτοῖς* [55]) *ὁπλίταις
καταδυομένας· τὸν τῶν ὑδάτων ἦχον, τὸν τῶν ναυτῶν θό-
ρυβον, τὴν τῶν στρατιωτῶν βοὴν, τῶν κυμάτων καὶ τῶν αἱ-
μάτων μιγνύμενον τὸν ἀφρὸν, καὶ ὁμοῦ τοῖς πλοίοις ἐπειοιόντα
πᾶσι· τοὺς ἐπὶ τῶν καταστρωμάτων* [56]) *νεκροὺς, τοὺς κατα-
ποντιζομένους, τοὺς ἐπιπλέοντας, τοὺς εἰς τοὺς αἰγιαλοὺς ἐκ-
βρασσομένους, τοὺς ἔνδον τοῖς κύμασι περικλυζομένους, καὶ
ταῖς ναυσὶν ἀποφράττοντας τὴν ὁδόν.* [57]) ***Καὶ** πάσας ἀκρι-* 609

---

1. Tim. *ὅταν ἡ καρδία μὴ βαρηθεῖσα τοῖς σιτίοις βαπτίζηται κάτω.* [Alios locos vide apud ***Matthaeium*** l. l. Homil. I, not. 188. T. I, p. 61. *L.*]

51) *τροχὸν καὶ κνημῖδα.* ***Τροχὸν confusioni quidem hic descriptae magis convenire videtur.*** Cant. ed. 2. *τράχηλον* habent editi: sed ut *αἷμα* ter dicitur, sic *τροχὸς* iterum dici potuit. Acutum in *κνημίδα* persuasit ***Phrynichus***, non ignorans *ἐϋκνήμιδας ἀχαιούς. κνημὶς, τροχοῦ* radium interdum notat. [Imo scribendam cum circumflexo. Erat autem *κνημὶς* ***tibiale, ocrea.*** Suidas: *τὸ περιτιθέμενον τοῖς ποσὶν ὑπὸ τῇ κνήμῃ ὑπόδημα.* Cf. ***Feith.*** Antiqq. Homeric. IV, 8. *L.*]

52) *προσπεπλασμένους.* [Cerebrum gladiis haerens.] Hesychius, *προσπλάζει, προσπελάζει.* Est ex *πέλας.*

53) *ἐμπεπερονημένον.* [***Teli cuspidem effractam, oculumque ceu infibulatum habentem.***] Hesychius: *ἐμπεπαρμένον, ἐμπερωνημένον* (fac o,) *ἐνηλωμένον.* [Est igitur ***tabulatum navis.*** Cf. ***Jungermann.*** ad Polluc. I, 29. *L.*]

54) *τριήρεις.* Al. *μικρὰ πλοῖα ἀνὰ τρεῖς κωπηλάτας ἔχοντα, τριήρεις.* Glossa.

55) *αὐτοῖς.* Saepe *σὺν ἐλλείπει.* Xenophon, *ὁ δὲ κῦρος τοῖς παροῦσιν ἐτείχιζεν,* ***cum iis qui aderant, muros struebat.*** Thucyd. l. 4. *ἀπεχώρησαν τῷ στρατῷ,* ***discessere cum exercitu.*** Aristoph. Nub. *χορὸν ἵστατε νύμφαις,* ***chorum agitis cum Nymphis.*** Plutarch. *προσῆγον ἐσπασμένοις τοῖς ξίφεσιν,* ***strictis gladiis.*** inprimis omisso *σὺν* ponitur *αὐτῷ, αὐτοῖς.* videantur ***Budaeus, Raphelius,*** et ***Bos,*** cujus Ellipses Graecae locupletari possint etiam ex hujus Dialogi tmemate 6. 65. 78. 209. 211. 220. 227. 297. 347. 437. 471. 475. 550. 556. 594. cum annotatis.

56) *καταστρωμάτων.* Rursum Hesychius, *καταστρώματα, τῆς νεὼς μέρος, ἐν ᾧ ἑστῶτες ναυμαχοῦσιν.*

57) *ἀποφράττοντας τὴν ὁδόν.* Nimis longa sane est haec pugnarum descriptio, neque tamen satis apta dialogi formae. Non

βῶς διδάξας τὰς τοῦ πολέμου τραγῳδίας, προστιθέτω καὶ τὰ τῆς αἰχμαλωσίας δεινὰ, καὶ τὴν παντὸς θανάτου χαλεπωτέ-
610 ραν δουλείαν. Καὶ ταῦτα εἰπὼν κελευέτω τὸν ἵππον ἀναβαίνειν εὐθέως, καὶ τοῦ στρατοπέδου παντὸς ἐκείνου στρατηγεῖν.
611 Ἆρα οἴει πρὸς τὴν διήγησιν μόνην ἀρκέσειν [58]) τὸν μειρακίσκον [59]) ἐκεῖνον, ἀλλ᾽ οὐκ ἀπὸ πρώτης ὄψεως [60]) εὐθέως ἀφήσειν τὴν ψυχήν;
612 XIII. Καὶ μή με νομίσῃς [1]) ἐπαίρειν τὸ πρᾶγμα τῷ λόγῳ· μήδ᾽ ὅτι τῷ σώματι τούτῳ καθάπερ τινὶ δεσμωτηρίῳ κατακλεισθέντες, τῶν ἀοράτων οὐδὲν δυνάμεθα ἰδεῖν, μεγάλα τὰ εἰρημένα εἶναι νόμιζε. [2]) πολὺ γὰρ ταύτης τῆς μάχης μείζονα, πολὺ καὶ φρικωδεστέραν εἶδες ἂν, εἰ τοῦ διαβόλου τὴν ζοφωδεστάτην παράταξιν, καὶ τὴν μανιώδη συμβολὴν τούτοις τοῖς
613 ὀφθαλμοῖς ἰδεῖν ἠδυνήθης ποτέ. Οὐ γὰρ χαλκὸς ἐκεῖ καὶ σίδηρος, οὐδὲ ἵπποι καὶ ἅρματα καὶ τροχοὶ, οὐδὲ πῦρ καὶ βέλη, ταῦτα τὰ ὁρατά· ἀλλ᾽ ἕτερα πολὺ τούτων φοβερώτερα μηχανήματα. οὐ δεῖ τούτοις τοῖς πολεμίοις θώρακος οὐδὲ ἀσπίδος, οὐδὲ ξιφῶν καὶ δοράτων· ἀλλ᾽ ἀρκεῖ μόνη ἡ ὄψις τῆς ἐπαράτου στρατιᾶς ἐκείνης παραλῦσαι ψυχὴν, ἣ μὴ λίαν οὖσα γενναία τύχῃ, καὶ πρὸ τῆς οἰκείας ἀνδρείας, πολλῆς ἀπολαύσῃ
614 τῆς παρὰ τοῦ Θεοῦ προνοίας. Καὶ εἴ γε ἦν δυνατὸν, τὸ

---

inepte id jam animadvertit *Cramerus*, qui ita de h. l. scripsit: „*So schön auch dieses Gemälde ist, und so ausserordentlich der Wohlklang der dazu gewählten Worte im Originale ist, so werden doch Kenner daran aussetzen, dass es zu lang und allzu umständlich ist. Es streitet nicht allein wider die Natur eines Gesprächs, sondern verdient schon an sich selbst eine Critik. Da es Schrecken erwecken soll, so würde dieser Eindruck eher erhalten worden sein, wenn er das Schrecklichste zusammengedrängt, und das Gemüth so zu sagen auf einmal damit betäubt hätte. Jetzt aber bemerkt man allzusehr, dass der Verfasser alles genau gewusst hat, was bei einer Schlacht vorfallen kann, und erschrickt nicht.*“ *L.*

58) *διήγησιν*. Ita *Fr. Ducaeus* et *Montefalconius*. *Savilius* contra et *Joh. Hughes* habent *διοίκησιν*. Non male. *L.*

59) *τὸν μειρακίσκον ἐκεῖνον*. Sic codd. al. *τὸ μειρακίσκιον ἐκεῖνο*, Cant. ed. 2. *Magna est in diminutivis licentia, et perinde a Chrysost. dicitur μειρακίσκιον, ac ab Aristoph. in Ran. μειρακύλλιον*. *Vide Pollucem lib. 2. segm. 9.* Not. ejusd. ed. Talia sunt, *κορίσκιον*, *ῥηματίσκιον*. Hermogenes *ἐν τῇ σφοδρότητι* novis verbis locum esse docet.

60) *ἀπὸ πρώτης ὄψεως*. Sic, *ἐκ πρώτης φωνῆς*. §. 208.

1) *μὴ νομίσῃς*. *Insignis concio*. Strigel. Hypomn. in Eph. 6, 10.

2) *νόμιζε*. *Morel*. *νομίσῃς*. Tantundem. *L.*

σῶμα ἀποδῦντα τοῦτο, ἢ καὶ μετὰ αὐτοῦ τοῦ σώματος δυνη-
θῆναι [3]) καθαρῶς καὶ ἀφόβως ἅπασαν τὴν ἐκείνου παράταξιν,
καὶ τὸν πρὸς ἡμᾶς πόλεμον ὀφθαλμοφανῶς ἰδεῖν· εἶδες ἂν οὐ
χειμάῤῥους αἱμάτων, οὐδὲ σώματα νεκρὰ, ἀλλὰ ψυχῶν πτώ-
ματα τοσαῦτα, καὶ τραύματα οὕτω χαλεπὰ, ὡς ἅπασαν ἐκεί-
νην τοῦ πολέμου τὴν ὑπογραφὴν, ἣν ἄρτι διῆλθον πρός σε,
παίδων τινῶν ἀθύρματα [4]) εἶναι νομίσαι, καὶ παιδιὰν μᾶλλον
ἢ πόλεμον, τοσοῦτοι οἱ καθ' ἑκάστην πληττόμενοι τὴν ἡμέ-
ραν. Τὰ δὲ τραύματα οὐκ ἴσην ἐργάζεται τὴν νέκρωσιν, αλλ' 615
ὅσον ψυχῆς καὶ σώματος τὸ μέσον, τοσοῦτον ἐκείνης καὶ ταύ-
της τὸ διάφορον. ὅτ' ἂν γὰρ λάβῃ τὴν πληγὴν ἡ ψυχὴ καὶ
πέσῃ, οὐ κεῖται καθάπερ τὸ σῶμα ἀνεπαισθήτως, ἀλλὰ βα-
σανίζεται μὲν ἐντεῦθεν [5]) ἤδη τῇ πονηρᾷ συνειδήσει τηκομένη·
μετὰ δὲ τὴν ἐνθένδε ἀπαλλαγὴν, κατὰ τὸν τῆς κρίσεως και-
ρὸν, ἀθανάτῳ παραδίδοται τιμωρίᾳ. Εἰ δέ τις ἀναλγήτως
ἔχοι πρὸς τὰς τοῦ διαβόλου πληγὰς, μεῖζον ὑπὸ τῆς ἀναισθη-
σίας ἐκείνῳ γίνεται τὸ δεινόν. ὁ γὰρ ἐπὶ τῇ προτέρᾳ πληγῇ
μὴ δηχθεὶς, εὐκόλως δέξεται καὶ δευτέραν, καὶ μετ' ἐκείνην
ἑτέραν. οὐ γὰρ διαλιμπάνει μέχρι τῆς ἐσχάτης ἀναπνοῆς παίων
ὁ μιαρὸς, ὅτ' ἂν εὕρῃ ψυχὴν ὑπτίαν καὶ τῶν προτέρων κα-
ταφρονοῦσαν πληγῶν. Εἰ δὲ καὶ τῆς συμβολῆς τὸν τρόπον 616
ἐξετάζειν ἐθέλοις, πολὺ ταύτην σφοδροτέραν καὶ ποικιλωτέραν
ἴδοις ἄν. οὐδὲ γὰρ κλοπῆς καὶ δόλου τοσαύτας τις οἶδεν ἰδέας,
ὅσας ἐκεῖνος ὁ μιαρὸς, ταύτῃ γοῦν τὴν πλείονα κέκτηται δύ-
ναμιν· οὔτε ἔχθραν τις οὕτως ἀκήρυκτον [6]) δύναιτ' ἂν [7]) ἔχειν

---

3) δυνηθῆναι. *Superfluum videtur. nam quorsum* δυνατὸν δυνηθῆναι; *Vel scribentis errore ponitur pro* δῦναι, *i. e. aciem instructam* ingredi καθαρῶς καὶ ἀφόβως. Cant. ed. 2. Διαδῦναι propius erat: sed manere potest δυνηθῆναι personale, cum impersonali δυνατόν.

4) ἀθύρματα. Notat proprie *puerorum* lusum pro *foribus*. Odyss. P. [323.] θύρῃσι καθήμενοι ἑψιαάσθων. α inest ἀθροιστικὸν potius quam στερητικόν.

5) ἐντεῦθεν. Ut cecidit. [„*Hoeschelius* legit ἐνταῦθα opposite ad τὴν ἐνθένδε ἀπαλλαγὴν, ut sit, hic jam, vel, dum in hoc corpore manet. Non male. *Hughes*."]

6) ἀκήρυκτον. *Jure gentium nefas est violare praecones et caduceatores: cum violantur, bellum illud* ἀκήρυκτον καὶ ἄσπονδον *vocatur*. Portus ad Xen. [Ab Hesychio ἀκήρυκτος explicatur per ἀδιάλλακτος. Est igitur ἀκήρυκτος ἔχθρα, *inimicitia implacabilis, atrox*. Vid. *Erasmi* Adagg. III, 3, 84. coll. Xenoph. Memorr. III, 3, 4. *L.*]

7) δύναιτ' ἄν. *Montefalc.*, quem secutus est *Hasselbach*, legit δύναται, quod sane bene potest ferri. *L.*

πρὸς τοὺς ἄγαν πολεμιωτάτους αὐτῷ, ὅσην πρὸς τὴν ἀνθρω-
617 πείαν φύσιν ὁ πονηρός. Καὶ τὴν προθυμίαν δὲ εἴ τις ἐξετά-
ζοι, μεθ' ἧς μάχεται ἐκεῖνος, ἀνθρώπους μὲν ἐνταῦθα καὶ γε-
λοῖον 8) παραβαλεῖν. εἰ δέ τις τὰ ἀγριώτατα καὶ ἀπηνέστατα
τῶν θηρίων ἐκλεξάμενος ἀντιτιθέναι θέλοι τῇ τούτου μανίᾳ,
πραότατα ὄντα καὶ ἡμερώτατα εὑρήσει τῇ παραβολῇ 9) το-
σοῦτον οὗτος πνεῖ θυμὸν, ταῖς ἡμετέραις προσβάλλων ψυχαῖς.
618 Καὶ ὁ τῆς μάχης δὲ χρόνος, ἐνταῦθα μὲν βραχὺς, καὶ ἐν τῷ
βραχεῖ δὲ αὐτῷ πολλαὶ αἱ ἀνακωχαί· 10) καὶ γὰρ νὺξ ἐπελ-
θοῦσα, καὶ ὁ τοῦ σφάζειν κάματος, καὶ τροφῆς καιρὸς, καὶ
πολλὰ ἕτερα διαναπαύειν τὸν στρατιώτην πέφυκεν, ὡς καὶ
ἀποδῦναι τὴν παντευχίαν, καὶ ἀναπνεῦσαι μικρὸν, καὶ σίτῳ
καὶ ποτῷ καταψῦξαι, 11) καὶ ἑτέροις πολλοῖς τὴν προτέραν
ἀνακτήσασθαι δύναμιν. Ἐπὶ δὲ τοῦ πονηροῦ, οὐκ ἔστι τὰ
ὅπλα καταθέσθαι 12) ποτὲ, οὐκ ἔστιν ὕπνον ἄρασθαι, τὸν βου-
λόμενον ἄτρωτον μένειν διαπαντός. ἀνάγκη γὰρ, δυοῖν θάτε-
ρον, ἢ πεσεῖν καὶ ἀπολέσθαι γυμνωθέντα, ἢ διαπαντὸς καθω-
πλισμένον ἑστάναι καὶ ἐγρηγορότα. 13) καὶ γὰρ ἐκεῖνος δια-
παντὸς ἕστηκε μετὰ τῆς αὐτοῦ παρατάξεως, τὰς ἡμετέρας ῥα-
θυμίας παρατηρῶν, πλείονά τε εἰσφέρων σπουδὴν εἰς τὴν ἡμε-
619 τέραν ἀπώλειαν, ἢ εἰς τὴν σωτηρίαν ἡμεῖς τὴν ἑαυτῶν. Καὶ
τὸ μὴ ὁρᾶσθαι δὲ αὐτὸν ὑφ' ἡμῶν, καὶ τὸ ἐξαπίνης ἐπιτί-
θεσθαι, ἃ μάλιστα τῶν μυρίων ἐστὶν αἴτια κακῶν τοῖς οὐκ
ἐγρηγορόσι διαπαντὸς, πολὺ τοῦτον ἀπορώτερον ἐκείνου δεί-

---

8) *γελοῖον.* Τὸ γελοῖόν ἐστιν αἶσχος ἀνώδυνον καὶ οὐ φθαρτικόν. *Ridiculum* ergo non nobis est; sed hosti, quatenus in eum risus cadit.

9) *τῇ παραβολῇ.* *Alii*, ἐν τῇ παραβ. *Montef.* Praecedit εὑρήσει. fort. εὑρήσειεν τῇ παραβολῇ.

10) *ανακωχαί.* Est ἀνακωχὴ *cessatio pugnae, induciae.* Hesychius explicuit per ἀναχώρησις, ἀνάπαυσις. Chrysost. T. III, p. 554 A. πόλεμος ἀνακωχὴν οὐκ ἔχων. Cf. de hoc vocab. Erotianum p. 16. Steph. et *Goeller.* ad Thucyd. T. II, p. 449.

11) *καταψῦξαι.* Augustanus, καὶ καταψ. vet. int. *vel requie.* Sic certe infinitivus erit casu sexto, quem saepe sine τῷ poni docet *E. Schmid.* ad N. T. f. 1253.

12) *τὰ ὅπλα καταθέσθαι.* Oppositum, τὰ ὅπλα θέσθαι. vide *Vigerum.* [p. 297 sqq.]

13) *ἑστάναι καὶ ἐγρηγορότα.* Haec lectio Savilii media. inde alii, ἑστῶτα καὶ ἐγρηγορότα. vel, ἑστάναι καὶ ἐγρηγορέναι. [*Montef.* habet ἑστῶτα καὶ ἐγρηγορότα, quae lectio est in edit. Ducaeana et in Cantabrigiensi 1ma. *L.*] Caeterum de hoc *standi* officio egregie loquitur Hom. 23. in Eph. 6.

κνῦσι τὸν πόλεμον.[14]) Ἐνταῦθα οὖν ἡμᾶς ἤθελες στρατηγεῖν 620
τοῖς στρατιώταις τοῦ Χριστοῦ; ἀλλὰ τῷ διαβόλῳ τοῦτο ἦν
στρατηγεῖν. ὅτ' ἂν γὰρ ὁ διατάττειν καὶ διακοσμεῖν τοὺς λοι-
ποὺς ὀφείλων, πάντων ἀπειρότατος καὶ ἀσθενέστατος ᾖ· προ-
δοὺς ὑπὸ τῆς ἀπειρίας τοὺς πιστευθέντας, τῷ διαβόλῳ μᾶλ-
λον ἐστρατήγησεν, ἢ τῷ Χριστῷ.
Ἀλλὰ τί στένεις;[15]) τί δακρύεις; οὐ γὰρ θρήνων ἄξια τὰ 621
κατ' ἐμὲ νῦν, ἀλλ' εὐφροσύνης καὶ χαρᾶς. ΒΑΣ. Ἀλλ' οὐχὶ
καὶ τὰ ἐμὰ, φησὶν, ἀλλὰ μυρίων ἄξια ταῦτα κοπετῶν· νῦν
γὰρ μόλις ἠδυνήθην συνιδεῖν, οἷ[16]) τῶν κακῶν με ἤγαγες. Ἐγὼ 622
μὲν γὰρ εἰσῆλθον πρός σε, ὅ τι ποτὲ ὑπὲρ σοῦ πρὸς τοὺς
ἐγκαλοῦντας ἀπολογήσομαι, δεόμενος μαθεῖν· σὺ δέ με ἐκπέμ-
πεις ἑτέραν ἀνθ' ἑτέρας[17]) φροντίδα ἐνθείς. οὐ γὰρ ἔτι μοι
μέλει, τί πρὸς ἐκείνους ὑπὲρ σοῦ, ἀλλὰ τί πρὸς τὸν Θεὸν
ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἐμῶν ἀπολογήσομαι κακῶν. Ἀλλὰ σοῦ 623
δέομαι καὶ ἀντιβολῶ, εἴ τι σοι μέλει τῶν ἐμῶν, εἴ τις παρά-
κλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τινα σπλάγ-
χνα[18]) καὶ οἰκτιρμοὶ, καὶ γὰρ οἶδας, ὅτι με μάλιστα πάντων
αὐτὸς εἰς τοῦτον τὸν κίνδυνον ἤγαγες· χεῖρα ὄρεξον καὶ λέ-

---

14) πόλεμον. Locum hunc inde a §. 612. mirifice illustrabit *Macarius* de Carit. c. 30. Conf. etiam *Jac. Acontii* de Stratagematis Satanae, librum maxime 8. et *C. Scriverii* Tom. 4. Thesauri, homil. 12.

15) τί στένεις. Singularis aestimator Chrysostomi, *A. Hyperius*, hunc *ex ecclesiasticis scriptoribus in amplificationibus et in movendis affectibus dominari ac plane regnare* censet. l. 3. de rat. stud. Theol. c. 8. Id. non solum in homilias, in quibus idem huic uni inter omnes principatum tribuit, sed etiam in hunc dialogum hoc epilogo insignitum convenit.

16) οἷ. Redit ad prima Basilius. §. 126.

17) ἑτέραν ἀνθ' ἑτέρας. Major videlicet cura minorem obruit. sic ἀντὶ, §. 101. Vim particulae demonstrat illud *Theognidis:*

Ἀλλὰ Ζεὺς τέλεσόν μοι ὀλύμπιε καίριον εὐχήν.
  Δός δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν·
Τεθναίην δ' εἰ μή τι κακῶν ἄμπαυμα μεριμνῶν
  Εὑροίμην, δοίης τ' ἀντ' ἀνιῶν ἀνίας.

i. e. *Jupiter, praesta mihi opportunum votum: ut* pro malis *etiam bono afficiar aliquo; moriar autem, si nullam requiem nanciscar, dederisque* pro moeroribus *moerores.* magnam in antitheto suavitatem hi habent pentametri. [Cf. *Valcken.* ad Herodot. VI, 32. *L.*]

18) εἴ τινα σπλάγχνα. Εἴ τι σπλάγχνα, Erasmus et Augustanus. Sic quoque Phil. 2. 1. codd. quidam. [Vid. de h. l. ex Phil. II, 1. desumto *Joh. H. Tittmann*, praeceptorem optimum, *Lexic. Synon.* N. T. Spec. V. p. 68. *L.*]

γων καὶ πράττων τὰ δυνάμενα ἡμᾶς ἀνορθοῦν, μηδὲ ἀνάσχῃ πρὸς γοῦν τὸ βραχύτατον ἡμᾶς ἀπολιπεῖν, ἀλλὰ νῦν μᾶλλον
624 ἢ πρότερον κοινὰς ποιεῖσθαι τὰς διατριβάς. ΧΡΥΣ. Ἐγὼ δὲ μειδιάσας, καὶ τί συμβαλέσθαι, ἔφην, τί δέ σε ὀνῆσαι δυνήσομαι πρὸς τοσοῦτον πραγμάτων ὄγκον; ἀλλ' ἐπειδή σοι τοῦτο ἡδὺ, θάῤῥει, ὦ φίλη κεφαλή· τὸν καιρὸν γὰρ, καθ' ὃν ἂν ἐξῇ σοι τῶν ἐκεῖθεν φροντίδων ἀναπνεῖν, καὶ παρέσομαι καὶ παρακαλέσω, καὶ τῶν εἰς δύναμιν τὴν ἐμὴν ἐλλείψεται οὐδέν. 19) Ἐπὶ τούτοις πλέον ἐκεῖνος δακρύσας ἀνίσταται· ἐγὼ δὲ αὐτῷ περιχυθεὶς, καὶ καταφιλήσας τὴν κεφαλὴν, προὔπεμπον, παρακαλῶν γενναίως φέρειν τὸ συμβεβηκός. Πιστεύω γὰρ, 20) ἔφην, τῷ καλέσαντί σε Χριστῷ, καὶ τοῖς ἰδίοις ἐπιστήσαντι προβάτοις, ὅτι τοσαύτην ἐκ τῆς διακονίας ταύτης κτήσῃ 21) παῤῥησίαν, 22) ὡς καὶ ἡμᾶς κατὰ τὴν ἡμέραν ἐκείνην κινδυνεύοντας, 23) εἰς τὴν αἰώνιαν σοῦ 24) δέξασθαι 25) σκηνήν. 26)

---

19) *ἐλλείψεται οὐδέν.* *Montef.* et *Joh. Hughes.* legunt ἐλλείψω οὐδὲν, quod magis sane placet. Bene provocavit *Hughes* ad Isocr. Evag. 15., ubi leguntur verba: *σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν.* *L.*

20) *πιστεύω γάρ.* Clausula haec, totius dialogi temperat severitatem: neque alibi non reperiuntur solatia uberiora, quibus utantur, qui cum Basilio pertimefacti sunt prius. [*Husselbachius* bene vertit: *Du werdest aus diesem Amte so grosse Freudigkeit erwerben.* *L.*]

21) *κτήσῃ.* *Hic dicet, se monitum abs te vitam emendasse: ille, a desperatione fuisse ad spem revocatum: alius, e Stygii lupi faucibus ereptum: alius, ab errore in viam reductum: denique alius alia commemorabit. omnes vero pariter glorificabunt in te Deum.* Joh. Rivius de Off. past. p. 47.

22) *παῤῥησίαν.* *Τὸ μάλιστα πάντων παρέχον ἡμῖν τὴν ἄνωθεν εὔνοιαν ἡ περὶ τοὺς πλησίον ἐστὶ κηδεμονία.* Hom. 87. in Joh.

23) *κινδυνεύοντας.* Participium saepe est conditionale. §. 268. 544. 589. hic quoque conditio statui potest: *si quid tum periculi erit.* quanquam periculum illo die futurum asseritur etiam §. 369. Alludit autem hic ad verbum *ἐκλίπητε*, Luc. 16, 9. quod tamen aliò spectat.

24) *σοῦ.* *Εἰς τὰς αἰωνίους σκηνὰς* exstat l. c. sine *αὐτῶν.* Sed Hom. 5. c. Jud. et Hom. 1. in ep. ad Hebr, dicit (fortasse ex Luc. 16, 4.) *αὐτῶν σκηνὰς*, perinde ut alii patres, quos citat *Arnold. Evang. Bottschafft* p. 988. quibus adde *Ambrosium* de Off. pag. 280. ed. Foertsch. et Syrum.

25) *δέξασθαι.* Illis, qui multos lucrifecerint, lucrifactos in illo die profuturos esse, docet Hom. cit. c. Jud. in fine, ex eodem Lucae loco et ex 2. Cor. 1, 4. coll. Act. 9, 39. *καὶ σὲ τότε περιστάντες*, inquit, *οἱ διασωθέντες νῦν, ποιήσουσι πολλῆς ἀπολαῦσαι*

φιλανθρωπίας, καὶ τοῦ τῆς γεέννης πυρὸς ἐξαρπάσονται. paria habet Ephraim Syrus f. τμη. Dialogus autem eos ipsos, qui multos lucrifecerint, amicis praesidio fore innuit. Non faciebat Chrysostomus cum iis, qui sub illa tempora, periculoso errore, sibi persuaserant, malos homines universos in judicio a Dei misericordia condonatum iri precibus sanctorum; quos *Augustinus* et seipsum in collocutionibus expertum ait et ipse graviter refutat libro 21. de Civit. c. 18. et 24. sed tamen non abhorruit ab eorum ratione, qui in aliorum pietate laudanda ejusmodi sermonem adhibebant, ut suae infirmitati illos in judicio subvenire vellent. Anachoreta, apud *Ephraim Syrum* περὶ τῆς κύρας Σαλῆς· εὔχομαι ἄξιος αὐτῆς εὑρεθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Adde *Prudentium* de Corona Romani, in extremo.

26) σκηνήν. Quod adhuc non sumus consecuti, inquit, id tum consequemur, ut simus *contubernales*. conf. §. 9. Obsignamus haec suspirio *Ambrosii* librum saepe citatum concludentis: *Age jam nunc, sanctificus Spiritus, qui nos in hoc opere divinis inspirationibus adjuvisti, cunctos sacerdotes adjuva, et praesta, ut faciant, quae in hoc opusculo ipse eloqui inspirasti, ut eis una mecum tribuas* seculorum regna, *quae sanctis* in regna seculorum *dare promisisti. Amen.*

INDEX I.

LOCORUM SCRIPTURAE SACRAE.

INDEX II.

RERUM ET OBSERVATIONUM.

16

